Ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδε Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενος· Ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῆι ἐν τοῖς Κυπρίοις λεγομένηι ἱστορίαι· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῆι δρυΐ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως, τῆι δὲ αὐτῆι γραφῆι καὶ Ἀπολλόδωρος (*FGrH* 244 F 148) *κατηκολούθησε. πρὸς οὕς φησι Δίδυμος· Ἀμφοτέρων τῆι δρυΐ λοχώντων, τοῦ τε Κάστορος καὶ τοῦ Πολυδεύκους, ⟨πῶς⟩ μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε; μήποτε οὖν, φησί, δεῖ ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως ἡμένος ⟨ἢ διὰ τοῦ⟩ ω̄ς ἡμένως, ἵνα κατ' ἀμφοῖν ἀκούηται· ἴδε Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένος ἀντὶ τοῦ ἡμένους, δηλονότι τοὺς Διοσκούρους, ὡς ἀελλόπος καὶ τρίπος, οὐχ ἕδος ἐστὶ γεραιέ* (Λ 648)*, ἀντὶ τοῦ οὐχ ἕδους. παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα·*

(v. 1) *Αἶψα δὲ Λυγκεὺς*
Ταΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς.
ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
Τανταλίδου Πέλοπος· τάχα δ' εἴσιδε κύδιμος ἥρως
(v. 5) *δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,*
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα·
νύξε δ' ἄρ' † ἀγχίστωρ μεγάλην δρῦν (…).

Vid. etiam Tzetz. *Chil.* 2.711-9 (Leone) *τῆς ἱστορίας μέμνηνται Λυκόφρων, Εὐριπίδης,* | *πάντες ἁπλῶς οἱ ποιηταὶ σὺν τῶι Ἀπολλοδώρωι,* | *καί γε Στασῖνος σὺν αὐτοῖς οὕτω τὰ ἔπη γράφων* | *ἡρωϊκοῖς ἐν ἔπεσι λέγων· Αἶψα – Πολυδεύκεα* (vv. 1-6); id., *Lycophr.* 511 (II 185.12

εἶχε δύο κόρες, τὴ Φοίβη καὶ τὴν Ἱλάειρα, ποὺ παρθένες ἀκόμα τὶς ἅρπαξαν οἱ Διόσκουροι· ἂν βέβαια οἱ Τυνδαρίδες δὲν καταλαμβάνονταν ἀπὸ παράφορο ἔρωτα γιὰ τὶς ἐξαδέλφες τους, οὔτε καὶ ὁ Ἀλέξανδρος (θὰ ἔκανε αὐτὸ) γιὰ τὴν ἀδελφή τους. Αὐτὰ ἀναφέρει στὸ γάμμα τὸ λεξικὸ τοῦ Ὁμήρου (τὸ λεξικὸ τὸ Ὁμηρικό), μολονότι ὁ Λυκόφρων (στ. 546 κἑ.) λέγει ἄλλα καὶ γι' αὐτοὺς ἀλλὰ καὶ γιὰ τοὺς γιοὺς τοῦ Ἀφαρέα Ἴδα καὶ Λυγκέα. Πβ. ἐπίσης Σχόλ. στὸ Γ 243.

[Οἱ Διόσκουροι κατέχουν σημαντικὴ θέση στὴν Κυπριακὴ λογοτεχνία καὶ τέχνη: βλ. κατωτ. Εἰκ. 55 καὶ σημ. στὰ F10-11a.]

F11

Σχόλ. Πινδ. *Νεμ.* 10.114a

Ἀπὸ τὸν Ταΰγετο ἀγναντεύοντας εἶδ' ὁ Λυγκεὺς μὲς στὸν κορμὸ τῆς δρυὸς καθισμένος: Ὁ μὲν Ἀρίσταρχος θεωρεῖ σωστὸ νὰ γράψει *ἥμενον* (καθισμένο), ἀκολουθώντας τὴν ἱστορία ποὺ λέγεται στὰ *Κύπρια*· γιατὶ αὐτὸς ποὺ σύνθεσε τὰ *Κύπρια* λέει ὅτι ὁ Κάστορας κρύφτηκε στὴ δρυὶ καὶ τὸν εἶδε ὁ Λυγκέας, καὶ τὴν ἴδια γραφὴ ἀκολούθησε πιστὰ καὶ ὁ Ἀπολλόδωρος· ἐπιπρόσθετα ἀπ' ὅσα λὲν αὐτοὶ ὁ Δίδυμος γράφει: Ἀφοῦ ἀμφότεροι κρύφτηκαν στὴ δρυὶ καὶ ἔστησαν ἐνέδρα, ὁ Κάστορας καὶ ὁ Πολυδεύκης, πῶς ὁ Λυγκεὺς εἶδε μόνο τὸν Κάστορα; Ἴσως λοιπὸν πρέπει, λέει, νὰ διαβάζεται ἡ παραλήγουσα μὲ ὀξεία *ἡμένος* ἢ μὲ τὸ *ὡς ἡμένως*, γιὰ νὰ ἀκούεται καὶ γιὰ τοὺς δυό: Ὁ Λυγκεὺς εἶδε στὸν κορμὸ τῆς δρυὸς *ἡμένος* ἀντὶ τοῦ *ἡμένους* (= καθισμένους), δηλαδὴ τοὺς Διοσκούρους, ὅπως *ἀελλόπος* καὶ *τρίπος* (δηλ. *ἀελλόπους* καὶ *τρίπους*), (κι ὅπως) *οὐχ ἕδος ἐστὶ γεραιέ*, ἀντὶ τοῦ *οὐχ ἕδους*. Καὶ παραθέτουν αὐτὸν ὁ ὁποῖος σύνθεσε τὰ *Κύπρια* ποὺ λέγει τὰ ἑξῆς:

(στ. 1) Ὁρμητικὰ ὁ Λυγκεὺς
τὸν Ταΰγετο στὰ φτερωτά του πόδια ὅλος πίστη ἀνέβαινε.
Καὶ στὴν ψηλότερη κορφή του ἀνεβασμένος ἀγνάντευ' ὅλο τὸ νησὶ
τοῦ Τανταλίδη Πέλοπα· καὶ γρήγορα ὁ τρανὸς ὁ ἥρωας ἀτένισε
(στ. 5) μὲ τ' ἀετίσιο βλέμμα του μέσ' στῆς δρυὸς τὸ κοίλωμα τοὺς δυό τους,
τὸν Κάστορα τὸν ἱπποδαμαστὴ καὶ τὸν πρωταθλητὴ τὸν Πολυδεύκη,
κι ἔπληξε σὰν ἦταν φυσικό (…).

Scheer) *στρατεύσαντες δὲ οἱ Διόσκουροι καὶ τὴν ἀγέλην ἐκείνην τῶν βοῶν ἤλασαν καὶ ἄλλα πολλὰ κἀκείνους ἐλόχων. Λιγγεὺς δὲ ἰδὼν Κάστορα ἐμήνυσε τῶι Ἴδαι, ὃς καὶ κτείνει αὐτόν. Πολυδεύκης δὲ διώκων αὐτοὺς τὸν Λιγγέα κτείνει δόρατι, ὑπὸ δὲ τοῦ Ἴδα στήλῃ λιθίνῃ ἀπὸ τοῦ Ἀφαρέως τάφου βληθεὶς τὴν κεφαλὴν σκοτισθεὶς πίπτει. Ζεὺς δὲ Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ ἀθάνατον ἔμελλε ποιεῖν· ὁ δὲ αἱρεῖται | θνήσκειν | ἡμέραν καὶ ἡμέραν ζῆν ὁμοίως τῶι ἀδελφῶι ἢ καθ' ὁλόκληρον εἶναι ἀθάνατον. καὶ ὁ Ζεὺς τοῦτο αὐτοῖς χαρίζεται ὡς καὶ Ὅμηρος· «ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε | τεθνᾶσιν» καὶ τὰ ἑξῆς* (λ 303-4). *τὴν δ' ἱστορίαν τῶν Διοσκούρων καὶ Στασῖνος ὁ τὰ Κύπρια πεποιηκὼς γράφει· Αἶψα – Πολυδεύκεα* (vv. 1-6). Cf. Apollod. *Bibl.* 3.136 (vid. infra ad loc.), et F11a.

[Vid. Schol. Pind. *Nem.* 10.104a ed. Drachmann (= Didymi *Ὑπομν. Πινδ.* fr. 53 ed. Schmidt), cum siglis; fr. 11 All., 13 Da., 15 Be., 16 We.] 8 ⟨*πῶς*⟩ *μόνον* Wilamowitz (ante *Ἀμφοτέρων* [supra, 7] Bergk): ⟨*μῶν*⟩ *μόνον* Mommsen, ⟨*πῶς τούτωι τῶι τρόπωι λοχήσαντα*⟩ *μόνον* Schmidt 9 *φησὶ δεῖν* D, *δεῖν φησὶν* B, *δεῖ φησιν* h, *δεῖ* Oxon. 10 *ἢ διὰ τοῦ ὣς ἡμένως* All.: *ὡς ἡρμένος* D; "vix sanum (…) ft. *ὡς ἠρμένος* delenda" adnot. Drachm., †*ὡς ἠρμένος*† scr. Da.; *ὡς ἀρμένος* coni. Bergk 13 *παρατίθεται* Bergk, it. Drachm. et We. 16 (v. 2) *Τηΰγετον* Tzetz., it. Da. Be. ‖ *ταχέσσι* B, *ταχέσι* D; *ῥαχέεσσι* Tzetz. 18 (v. 4) *Τανταλίδεω* Schneidewin, it. Da. Be. ‖ *Πέλοπος·* intepunximus (vid. nunc et We.): *Πέλοπος,* plur. ‖ *κύδμος* schol. Pind.: *ὄ(μ)βρμος* Tzetz. 19 (v. 5) *δεινοῖς* D, Tzetz.: *εἰν* B; an *εἰν οἷς*? ‖ *ὀφθαλμοῖς* D ‖ *κοίλης δρυὸς ἄμφω* coni. Gerhard, prob. Nauck, it. Da. We., et Be. (qui *κοΐλης* scr.); alii alia ‖ lac. post hunc v. et post v. 6 stat. Ribbeck 20 (v. 6) *πὺξ ἀγαθὸν Πολυδεύκεα* Rossbach 21 (v. 7) *νύξε δ' ἄρ'* om. Tzetzes ‖ *ἀγχίστωρ* B: *ἄγχιστα* D; *ἄγχι στὰς* Heyne, it. Da. Be., et We. (*ἄγχι στὰ⟨ς⟩*); *ὁ Κάστωρ* vulg.; *ἔγχεϊ Κάστορα* Xydas; possis *ἔγχεϊ Κάστορ' Ἴδας* ‖ *μεγάλην δρῦν* om. B ‖ ⟨*ὄβρμος Ἴδας*⟩ post *δρῦν* add. We.

F11a

Philod. *De piet.* N 247 V^{a} 23 + 242 V^{a} 24-30 + 247 V^{b} 1-3

Τοὺς |[24] *[δὲ Δι]οσκούρους | [καὶ τ]ὸν Ἡρακλέα* |[26] *[καὶ] τετε-*
λευτη|[27]*[κέ]ναι φησί. Κάστο[ρα δ]ὲ ὑπὸ Εἴδα τοῦ [Ἄφα]ρέως*
κατη{ι}[κοντ]ίσθαι γέγρα|[1] *φεν ὁ [τὰ Κύπρια]* |[2] *πρήσα[ς καὶ*
4 *Φερεκύ]|δης ὁ Ἀ[θηναῖος* (*FGrH* 3 F 165).

[Vid. A. Henrichs, *ZPE* 15 (1974) 304 et *Cron. Erc.* 5 (1975), 11; vid. etiam *Cypr.* fr. 14 Da., 15 Be., 17 We.] 1-4 N 242 V^{a} 24-26 suppl. Schobert, 27-30 Bücheler; N 247 V^{b} 1 suppl. Dietze, 2-3 Nauck (teste Davies) 2 *Ἴδα* vulg.

Τοὺς στ. 1-6 παραθέτει καὶ ὁ Τζέτζ., *Χιλ.* 2.711-9 (Leone) καὶ *Λυκόφρ.* 511 (II 185.12 Scheer). Πβ. Ἀπολλοδ. *Βιβλ.* 3.136 (βλ. κατωτ. σημ. στὸ ἀπόσπ.), καὶ κατωτ. F11a.





[Εικ. 55]
Οι Διοσκουροι Καστωρ [ἄνω] και Πολυδευκης (*Πάφος* [«Οἰκία τοῦ Διονύσου»], ἀρχὲς 3ου αἰ. μ.Χ.)

F11a

Φιλοδ. *Περὶ εὐσ.* N 247 V^{a} 23 + 242 V^{a} 24-30 + 247 V^{b} 1-3

Οἱ Διόσκουροι καὶ ὁ Ἡρακλῆς προσθέτει (αὐτὸς) ὅτι ἔχουν ἀποθάνει. Ὁ δὲ Κάστορας ἀπὸ τὸν Ἴδα τὸν γιὸ τοῦ Ἀφαρέα ὅτι ἔχει κτυπηθεῖ μὲ ἀκόντιο ἔχει γράψει αὐτὸς ποὺ σύνθεσε τὰ *Κύπρια* καὶ ὁ Φερεκύδης ὁ Ἀθηναῖος.

[Τὸ παπυρικὸ κείμενο ἔχουν συμπληρώσει ἱκανοποιητικὰ οἱ Schobert, Bücheler, Dietze καὶ Nauck (βλ. Davies). – Ἰδιαίτερα ἀξιοσημείωτη εἶναι ἡ παρουσία τοῦ *Ἡρακλέους* στὴν Κυπριακὴ λατρεία καὶ τέχνη (βλ. κατωτ. σημ. στὸ χωρίο).]

F12

Athen. 2, 35c

(v. 1) *Οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον*
θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.
3 *ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητής, ὅστις ἂν εἴη.*

Vid. et Suid. s.v. *οἶνος* (Adler)· *ὠνομάσθη ἀπὸ Οἰνέως* (…). *ὁ δὲ Κύπριος ποιητής φησιν· Οἶνον – μελεδῶνας* (vv. 1-2); cf. Eust. in ι 197 (Valk) *Κατὰ τὸν ποιήσαντα τὰ Κυπριακὰ οἶνος θεόθεν πεποίηται ἄριστος ἀνθρώποις ἀποσκεδάσαι μελεδῶνας.*

[Vid. Athen. edd. Kaibel, Gulick, Olson, et Desrousseaux (cum siglis); fr. 13 All., 15 Da., 17 Be., 18 We.] 1 *ἄκρητον* (pro *ἄριστον*) Xyd. 2 *μελεδώνας* Camerarius 3 *ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητής, ὅστις ἂν εἴη* Athen. (C^{mg}, om. E; *ὁ … ποιητής* C; "unde colligas formulam unam fere et eamdem tum sic tum 334^{b} in integriore Athenaeo extitisse" adnot. Desrousseaux): *ὁ δὲ Κύπριος ποιητής φησιν* Suid.: *κατὰ τὸν ποιήσαντα τὰ Κυπριακὰ* Eust.

F13

Plat. *Euthyphr.* 12a et Schol. ad loc.

Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας·
(v. 1) *Ζῆνα δὲ τὸν {θ'} ἔρξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν*
3 *οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος ἔνθα καὶ αἰδώς.*
ἐγὼ οὖν τούτωι διαφέρομαι τῶι ποιητῆι.

Vid. et Schol. ad loc. (Greene) *σημ⟨ειώσαι⟩ πα⟨ροιμίαν⟩ ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων· Ζῆνα – αἰδώς* (vv. 1-2; *ἐθέλει νείκειν*, vid. infra)· cf. Schol. ad eund. loc. ap. *Anecd. Gr. Paris*. I 399 Cramer *εἴρηται ἐκ τῶν Στασίνου Κυπρίων· Ζῆνα – αἰδώς* (vv. 1-2). Vid. etiam Stob. 3.31.12 (Meineke et Hense) *Στασίνου ἐκ τῶν Κυπρίων· Ζῆνα – αἰδώς* (vv. 1-2), et Mant. Prov. 1.71 (*CPG* II 755.10) *Στασίνου* (*Στασίμου* cod.) *ἡ γνώμη τοῦ ποιητοῦ, ὃς οὕτως φησί· Ζῆνα – αἰδώς* (vv. 1-2).

Sine auctoris nomine v. 2 *ἵνα – αἰδώς* adferunt Plut. *Cleom.* 30.6 (LZG et FC., *γὰρ* om. L^{1}) et *De cohib. ira* 11 (p. 459d, PPS. et Dum.); Schol. Ω 435α[1] (Erbse, *περ* pro *γὰρ*); Apostol. 9.6, Arsen. 31.50 (*CPG* II 463.9), Diogenian. 5.30 (*CPG* I 257.1, om. *γὰρ*), Stob. 3.31.18. Cf. Schol. Soph. *Aj.* 1074 (Christ.) *καὶ Ἐπίχαρμός φησιν* (fr. 221 Kaibel)· *ἔνθα δέος ἐνταῦθα* (LF; *καὶ ἐνταῦθα* N, om. VG) *καὶ αἰδώς.*

F12

Ἀθήν. 2, 35c

(στ. 1) Τὸ κρασί, Μενέλαε, οἱ θεοὶ τὸ κάμαν ἄριστο,
ἀπ' τοὺς θνητοὺς ἀνθρώπους ν' ἀποδιώξει τὶς σκοτοῦρες.
Ὁ ποιητὴς τῶν *Κυπρίων* λέει αὐτό, ὅποιος κι ἂν εἶναι.

Βλ. καὶ Σουίδ. σ.λ. *οἶνος*· Πῆρε τὸ ὄνομά του ἀπὸ τὸν Οἰνέα (…). Ὁ δὲ Κύπριος ποιητὴς λέει: «Τὸ κρασὶ – τὶς σκοτοῦρες» (στ. 1-2)· πβ. Εὐστ. στὸ ι 197: Σύμφωνα μ' αὐτὸν ποὺ σύνθεσε τὰ *Κυπριακὰ* τὸ κρασὶ τὸ ἔχουν κάμει οἱ θεοὶ ἄριστο ν' ἀποδιώξει τὶς σκοτοῦρες.



[Εικ. 56]
ΟΙ ΠΡΩΤΟΙ ΟΙΝΟΝ ΠΙΟΝΤΕϹ
(*Πάφος* [«Οἰκία τοῦ Διονύσου»],
ἀρχὲς 3ου αἰ. μ.Χ.)

F13

Πλάτ. *Εὐθύφρ.* 12a καὶ Σχόλ. στὸ χωρίο

Λέω δηλαδὴ τὸ ἀντίθετο ἀπ' ὅ,τι ὁ ποιητὴς ποὺ σύνθεσε (τοὺς στίχους):

(στ. 1) Τὸν Δία ποὺ ἔφτιαξε καὶ προκάλεσε ὅλα τοῦτα
δὲν θέλεις νὰ τὸν πεῖς· γιατὶ ὅπου φόβος καὶ ντροπὴ ἐκεῖ.
Ἐγὼ λοιπὸν διαφωνῶ μὲ τὸν ποιητὴ τοῦτον.

Βλ. καὶ Σχόλ. στὸ χωρίο: Σημείωσε τὴν παροιμία «ὅπου βέβαια (ὑπάρχει) φόβος, ἐκεῖ (ὑπάρχει) καὶ ντροπή», γιὰ ὅσους ἀπὸ φόβο φέρονται ὅπως σωστὰ ταιριάζει. Εἶναι παρμένο ἀπὸ τὰ *Κύπρια* τοῦ Στασίνου: «Τὸν Δία – ντροπή» (στ. 1-2)· πβ. Σχόλια στὸ ἴδιο χωρίο στὰ *Anecd. Gr. Paris.* I 399 Cramer: Ἔχει λεχθεῖ ἀπὸ τὰ *Κύπρια* τοῦ *Στασίνου*: «Τὸν Δία – ντροπή» (στ. 1-2). Βλ. ἐπίσης Στοβ. 3.31.12: Τοῦ Στασίνου ἀπὸ τὰ *Κύπρια*: «Τὸν Δία – ντροπή» (στ. 1-2), καὶ Μάντ. Παρομ. 1.71: Τοῦ Στασίνου (*Στασίμου* στὴ χειρόγραφη παράδοση) τοῦ ποιητῆ (εἶναι) τὸ γνωμικό, ποὺ ἔτσι λέει: «Τὸν Δία – ντροπή» (στ. 1-2).

Χωρὶς τὸ ὄνομα τοῦ ποιητῆ ἢ εἰσηγητῆ, τὴ φράση *ἵνα – αἰδὼς* ἀναφέρουν: Πλούτ. *Κλεομ.* 30.6 καὶ *Περὶ ἀοργ.* 11, Σχόλ. στὸ Ω 435a[1], Ἀποστόλ. 9.6, Ἀρσέν. 31.50, Διογενιαν. 5.30, Στοβ. 3.31.18. Πβ. καὶ τὰ Σχόλ. στὸν *Αἴ.* τοῦ Σοφ., στ. 1074 (Χριστοδούλου): "καὶ ὁ Ἐπίχαρμος γράφει: «Ὅπου φόβος καὶ ντροπὴ ἐκεῖ»".

[Vid. Plat. *Euthypr.* ed. Burnet; fr. 23 All., 24 Da., 18 Be., 29 We.] 2 (v. 1) *τὸν ἔρξαντα* (*τὸν Fέρξ.*) Nauck Ribbeck Da., et Burnet (τὸν {*θ'*} *ἔ.*): *τόν θ' ἔρξαντα* B^2W (*θέρξαντα* B), it. All. et alii (*τόν θ' ἔρξαντα*?); *τὸν ῥέξαντα* Stob. Apostol. Schol. Plat. ap. Cramer *Anecd. Gr. Par.*; *τὸν στέρξαντα* T, et BW v.l., unde *τ' ἔρξαντα* ci. Merkelbach (it. Be. We.) 3 (v. 2) *ἐθέλεις εἰπεῖν* BT (et Stob.), it. All. Da.; *ἐθέλειν εἰπεῖν* W, corr. B^2: *ἐθέλειν εἴκειν* Schol. ap. Cramer, *ἐθέλεινεικεσσιν* Schol. T; *ἐθέλει νεικεῖν* Burnet Scheer Be. We. (fort. recte).

F14

Clem. Alex. *Strom.* 6.19.1

Πάλιν Στασίνου ποιήσαντος·

2 (v. 1) *Νήπιος ὃς πατέρα κτείνων παῖδας καταλείπει.*

Versum ut *παροιμίαν* citat Aristot. *Rhet.* (Ross) 1.15 (p. 1376a: Ar.[1] infra) et 2.21 (p. 1395a: Ar.[2]); citant et Polyb. 23.10.10 et 15 (Buettner-Wobst), Suid. (Adler) s.vv. *νήπιος* et *Φίλιππος ὁ Μακεδών*, Arsen. apud Apostol. 12.8 (*CPG* [L. – S.] II 543.18).

[Vid. Clem. Alex. *Strom.* ed. Stählin – Früchtel; fr. 25 All., 25 Da., 33 Be., 31 We.] 2 (v. 1) *πατέρας* Ar.[1] A ‖ *κτείνων* Clem. Ar.[2]: *κτείνας* Ar. (praeter Ar.[2] A), Polyb. Suid. Arsen. ‖ *υἱοὺς* (pro *παῖδας*) Ar.[1] (praeter *ΘΠ*) Polyb. Suid. ‖ *καταλείποι* Ar.[1] *ΘΠ* et Ar.[2] *ΠΦZ*; *καταλίπει* Polyb. P; *ἀπολείπει* Suid. s.v. *νήπιος* F; *ἐγκαταλίποι* Arsen.

F15

Schol. Lycophr. *Alex.* 570

Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται Ῥοιώ. ταύτηι ἐμίγη Ἀπόλλων. αἰσθόμενος δὲ ὁ Στάφυλος ἔβαλεν αὐτὴν εἰς λάρνακα καὶ ἀφῆκε κατὰ τὴν θάλασσαν. ἡ δὲ προσεπελάσθη τῆι Εὐβοίαι καὶ ἐγέννησεν αὐτόθι περί τι ἄντρον παῖδα, ὃν 5 *Ἄνιον ἐκάλεσε διὰ τὸ ἀνιαθῆναι αὐτὴν δι' αὐτόν. τοῦτον δὲ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον· ὃς γήμας Δωρίππην ἐγέννησε τὰς Οἰνοτρόπους Οἰνώ, Σπερμώ, Ἐλαΐδα, αἷς ὁ Διόνυσος ἐχαρίσατο, ὁπότε βούλονται, σπέρμα λαμβάνειν. Φερεκύδης* (*FGrH* 3 F 140) *δέ φησιν ὅτι* ⟨*ὁ*⟩ *Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγε-* 10 *νομένους πρὸς αὐτὸν αὐτοῦ μένειν τὰ θ' ἔτη, δεδόσθαι δὲ αὐτοῖς*



[Εικ. 57] ΖΕΥΣ
(Ἐμπροσθότυπος ἀργυροῦ τριωβόλου
Στασιοίκου Β΄ τοῦ *Μαρίου*
[πρὶν ἀπὸ τὸ 312 π.Χ.]. *CMéd.*
Βλ. *ΕΘΗρΑΚ* σελ. 149 ἀρ. *99α*)

F14

Κλήμ. Ἀλεξ. *Στρωμ.* 6.19.1

Τοῦ Στασίνου καὶ πάλι ποὺ εἶπε:

(στ. 1) Ἀφελὴς ὅποιος σκοτώνει τὸν πατέρα κι ἀφήνει ζωντανοὺς
τοὺς γιούς.

Σὰν παροιμία παραθέτει τὸν στ. ὁ Ἀριστοτέλης, *Ρητ.* 1.15 (1376α) καὶ 2.21 (1395α)· πβ. Πολύβ. 23.10.10 καὶ 15, Σουίδ. σ.λλ. *νήπιος* καὶ *Φίλιππος ὁ Μακεδών*, Ἀρσέν. στὸν Ἀποστόλ. 12.8.

[Ἡ κατάταξη τοῦ F13 καὶ τοῦ F14 εἶναι ἀβέβαιη (πβ. τὶς ἐκδ. All., Da. καὶ Be.)· προτιμήσαμε τὴ σύνδεσή τους μὲ τὴ συνάντηση Μενελάου – Νέστορα καὶ τὴν παρεκβατικὴ διήγηση τοῦ τελευταίου (ἀνωτ. T7.28 κέ.), στὴν ὁποία κάλλιστα θὰ εἶχαν θέση οἱ μετέπειτα παροιμιακοὶ στ. τῶν δύο αὐτῶν ἀποσπ. (κυρίως ὁ στ. τοῦ F14). Βλ. κατωτ. σημ. στὰ χωρία.]

F15

Σχόλ. Λυκόφρ. *Ἀλεξ.* 570

Τοῦ Σταφύλου τοῦ γιοῦ τοῦ Διονύσου θυγατέρα γεννιέται ἡ Ροιώ. Μ' αὐτὴν ἔσμιξεν ὁ Ἀπόλλωνας. Ὅταν τό 'μαθε ὁ Στάφυλος τὴν ἔβαλε σ' ἕνα σεντούκι καὶ τὴν ἔριξε στὴ θάλασσα. Αὐτὴ προσορμίστηκε στὴν Εὔβοια καὶ γέννησε σ' ἕνα ἄντρο γιό, ποὺ τὸν ὀνόμασε Ἄνιο γιατὶ ἐξαιτίας του ταλαιπωρήθηκε· ὁ Ἀπόλλωνας τὸν ἔφερε στὴ Δῆλο, κι αὐτὸς παντρεύτηκε τὴ Δωρίππη καὶ γέννησε τὶς Οἰνοτρόπους Οἰνώ, Σπερμώ, Ἐλαΐδα, στὶς ὁποῖες ὁ Διόνυσος ἔδωσε τὸ χάρισμα νὰ παίρνουν, ὅποτε θέλουν, σπέρμα. Ὁ δὲ Φερεκύδης λέει ὅτι ὁ Ἄνιος ἔπεισε τοὺς Ἕλληνες σὰν ἦρθαν σ' αὐτὸν νὰ μείνουν ἐκεῖ ἐννιὰ χρόνια, καὶ πὼς τοὺς εἶχε δοθεῖ ἀπ' τοὺς θεοὺς νὰ κυριεύ-

παρὰ τῶν θεῶν τῶι δεκάτωι ἔτει πορθῆσαι τὴν Ἴλιον. ὑπέσχετο δὲ αὐτοῖς ὑπὸ τῶν θυγατέρων αὐτοῦ τραφήσεσθαι. ἔστι δὲ τοῦτο καὶ παρὰ τῶι τὰ Κύπρια πεποιηκότι· μέμνηται δὲ καὶ Καλλίμαχος τῶν Ἀνίου θυγατέρων ἐν τοῖς Αἰτίοις (fr. 188 Pf.).

[Vid. Schol. Lycophr. *Alex.* ed. Scheer (II 197.26), cum siglis; fr. 20 All., 19 Da., 29.I Be., 26 We.] 9 ⟨*ὁ*⟩ *Ἄνιος* scripsimus coll. *Ἄνιον* (v. 5) supra (cf. *Σταφύλου – ὁ Στάφυλος* vv. 1-2 supra) 10 *γὰρ* pro *δὲ* prop. Jac. (fort. recte).

F16

Paus. 10.26.4

Τοῦ δὲ Ἀχιλλέως τῶι παιδὶ Ὅμηρος μὲν Νεοπτόλεμον ὄνομα ἐν ἁπάσηι οἱ τίθεται τῆι ποιήσει· τὰ δὲ Κύπρια ἔπη φησὶν ὑπὸ Λυκομήδους μὲν Πύρρον, Νεοπτόλεμον δὲ ὄνομα ὑπὸ Φοίνικος αὐτῶι τεθῆναι, ὅτι Ἀχιλλεὺς ἡλικίαι ἔτι νέος πολεμεῖν ἤρξατο.

[Vid. Paus. edd. Spiro et Rocha-Pereira, et Papachatzis; fr. 14 All., 16 Da., 21 Be., 19 We.] 4 *Ἀχιλλεὺς* del. Siebelis et Müller, vid. et Severyns *ChC* 288 (sed cf. Hom. Z 402-4 de *Σκαμάνδριος – Ἀστυάναξ*, I 556-64, de *Κλεοπάτρα – Ἀλκυόνη*, δ 10-14 de *Μεγαπένθης*, al. sim.).

F17

Schol. Soph. *El.* 157

Ἢ Ὁμήρωι (I 145 ~ 287) *ἀκολουθεῖ* (sc. *Σοφοκλῆς*) *εἰρηκότι τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος ἤ, ὡς* ⟨*ὁ*⟩ *τὰ Κύπρια, δ΄ φησίν, Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.*

[Vid. Schol. Soph. *El.* ed. Papageorghius, cum siglis; fr. 15 All., 17 Da., 24 Be., 20 We.] 2 *εἰρηκότι ζῆν* ‖ *τρεῖς τὰς* Lascaris 3 *ὁ* ante *τὰ Κύπρια* add. Bethe; *ποιήσας* post *τὰ Κύπρια* prop. Brunck ‖ *διαφόρους* (pro *δ΄*: *τέσσαρας* scr. Papageorghius) Elmsley.

σουν τὴν Τροία τὸν δέκατο χρόνο. Τοὺς ὑποσχέθηκε δὲ ὅτι θὰ τρέφονται ἀπὸ τὶς κόρες του. Τοῦτο βρίσκεται καὶ σ' αὐτὸν ποὺ σύνθεσε τὰ *Κύπρια*· κάνει δὲ μνεία τῶν θυγατέρων τοῦ Ἄνιου καὶ ὁ Καλλίμαχος στὰ *Αἴτια*.

[Γράψαμε ⟨*ὁ*⟩ *Ἄνιος* (στ. 9) λόγω τῆς ἀναφορᾶς τοῦ ἴδιου ὀνόματος στὸν στ. 5 (*Ἄνιον*), ὅπως *Σταφύλου* (στ. 1) – *ὁ Στάφυλος* (στ. 2). – Γιὰ τὴν ἐδῶ κατάταξη τοῦ ἀποσπ. μετὰ τὴν ἀναχώρηση ἀπὸ τὴν Αὐλίδα καὶ πρὶν ἀπὸ τὴν ἄφιξη στὴν Τροία βλ. κατωτ. σημ. στὸ χωρίο.]

F16

Παυσ. 10.26.4

Τὸν γιὸ τοῦ Ἀχιλλέα ὁ μὲν Ὅμηρος παντοῦ στὴν ποίησή του τὸν ὀνομάζει Νεοπτόλεμο· ἐνῶ τὰ Κύπρια ἔπη ἀναφέρουν ὅτι ὁ Λυκομήδης (τὸν ὀνόμασε) μὲν Πύρρο, τὸ δὲ ὄνομα Νεοπτόλεμος τοῦ δόθηκε ἀπὸ τὸν Φοίνικα, γιατὶ ὁ Ἀχιλλέας ἄρχισε νέος νὰ πολεμᾶ.

[Γιὰ τὴν ἀναγκαιότητα τῆς γραφῆς *Ἀχιλλεὺς* (στ. 4), ποὺ ὀβελίζουν οἱ Siebelis καὶ Müller, βλ. κατωτ. σημ. στὸ χωρίο, μὲ ἄλλα ἀνάλογα παραδείγματα: *Σκαμάνδριος – Ἀστυάναξ*, *Κλεοπάτρα – Ἀλκυόνη*, *Μεγαπένθης* (καὶ μὲ περαιτέρω παραπομπές).]

F17

Σχόλ. Σοφ. *Ἠλ.* 157

Ἢ ἀκολουθεῖ (δηλ. ὁ Σοφοκλῆς) τὸν Ὅμηρο ποὺ ἔχει ὀνομάσει τὶς τρεῖς θυγατέρες τοῦ Ἀγαμέμνονα, ἢ, ὅπως ὁ ποιητὴς τῶν Κυπρίων, λέει (ὅτι εἶναι) τέσσερεις, (ἀναφέροντας καὶ) Ἰφιγένεια καὶ Ἰφιάνασσα.

[Ἡ ὀρθὴ ἀπόδοση (καὶ ἑρμηνεία) τοῦ κειμένου τοῦ ἀρχ. σχολ. εἶναι προβληματική· ἡ προσθήκη, λ.χ., τοῦ *ποιήσας* μετὰ *τὰ Κύπρια*, ὅπως ἔχει προτείνει ὁ Brunck, δὲν εἶναι ἀπίθανη (πβ. κατωτ. F19.3 κ.ἄ., καὶ 26.2 μὲ σημ. σ.στ.).]

***F18**

P. Louvre II col. ii. v. 27

Εἰ Ἀγαμέμνων οὕτως ἀπέφασκεν·
(v. 1) *Οὐκ ἐφάμην Ἀχιλῆϊ χολωσέμεν ἄλκιμον ἦτορ*
ὧδε μάλ' ἐκπάγλως, ἐπεὶ ἦ μάλα μοι φίλος ἦην,
ἀξίωμα ἐστίν.

[Vid. M. Letronne, *JS* 1838 p. 322 (ed. princ.); fr. 16 All., 19 Xyd., 25 Be. (cum adnot.), 21* We.] 1 *ἀπέφασκεν* Pap.: *ἔφασκεν* All. 2 *χολωσέμεν* Nauck Ribbeck All. Be.: *χολώσειν* Pap. 3 (v. 2) *ἦην* Pap., it Be. We.; dubit. iterarimus (cf. Λ 807 [vid. We. ad loc.], τ 283, ψ 316 al.): *ἦεν* All. Bethe Xyd., fort. recte; cf. A 381 *ἐπεὶ μάλα οἱ φίλος ἦεν*.

F19

Paus. 4.2.7

Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρωι συνώικησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησίν, ὃς ὅτε κατὰ τὴν Τρωιάδα ἔσχον Ἕλληνες ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως.

[Vid. Paus. edd. Spiro et Rocha-Pereira, et Papachatzis; fr. 17 All., 18 Da., 26 Be., 22 We.]

***F20**

Schol. Hom. Γ 242

Ἑλένη ἁρπασθεῖσα ὑπὸ Ἀλεξάνδρου, ἀγνοοῦσα τὸ συμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοσκούροις κακόν, ὑπολαμβάνει δι' αἰσχύνης αὐτῆς μὴ πεπορεῦσθαι τούτους εἰς Ἴλιον, ἐπειδὴ προτέρως ὑπὸ Θησέως ἡρπάσθη, καθὼς προείρηται (ad Γ 144)· *διὰ γὰρ τὴν τότε γενομένην ἁρπαγὴν Ἄφιδνα πόλις Ἀττικῆς πορθεῖται καὶ τιτρώσκεται Κάστωρ ὑπὸ Ἀφίδνου τοῦ τότε βασιλέως κατὰ τὸν δεξιὸν μηρόν. οἱ δὲ Διόσκουροι Θησέως μὴ*

***F18**

Πάπ. Λούβρου II στήλη ii στ. 27

῎Αν ὁ ᾽Αγαμέμνονας ἔλεγε τὰ λόγια·

(στ. 1) Δὲν εἶχα πρόθεση τ᾽ ᾽Αχιλλέα νὰ ἐξοργίσω τὴ γενναία καρδιὰ σὲ τέτοιο ἀνείπωτο βαθμό, γιατὶ πολὺ στ᾽ ἀλήθεια μοῦ ἦταν φίλος,

εἶναι «ἀξίωμα».

[Ἡ διόρθωση τοῦ *χολώσειν* σὲ *χολωσέμεν* (ἀπὸ τὸν Nauck κ.ἄ.) εἶναι γλωσσικὰ εὔλογη, μολονότι δὲν ἐπιβάλλεται ἀπὸ τὸ μέτρο. Πρόβλημα εἶναι ἂν πρέπει νὰ διατηρήσουμε τὴ γραφὴ *ἤην* τοῦ Παπύρου (ὅπως ὁ Bernabé) ἢ ἂν πρέπει νὰ διορθώσουμε σὲ *ἦεν*.]

F19

Παυσ. 4.2.7

Τοῦ Λυγκέα βέβαια δὲν ξέρουμε νὰ γεννήθηκε παιδί, τοῦ ῎Ιδα ὅμως (ξέρουμε) τὴν Κλεοπάτρα τὴν κόρη του ἀπὸ τὴ Μάρπησσα, ἡ ὁποία ἔζησε μαζὶ μὲ τὸν Μελέαγρο. Αὐτὸς δὲ ποὺ σύνθεσε τὰ *Κύπρια* τοῦ Πρωτεσίλαου λέει, ποὺ ὅταν οἱ ῞Ελληνες ἔφτασαν στὴν Τρωάδα τόλμησε νὰ ἀποβιβαστεῖ πρῶτος, τοῦ Πρωτεσίλαου τούτου λέει πὼς ἡ γυναίκα ὀνομαζόταν Πολυδώρα κι ἦταν κόρη τοῦ Μελέαγρου τοῦ γιοῦ τοῦ Οἰνέα.

[Πβ. Σχόλ. στὸ Β 701 (I 207.17 Dindorf). Βλ. Bernabé 29.II.]

***F20**

Σχόλ. ῾Ομ. Γ 242

Ἡ ῾Ελένη ποὺ ἁρπάχτηκε ἀπὸ τὸν ᾽Αλέξανδρο, ἀγνοώντας τὸ κακὸ ποὺ βρῆκε στὸ μεταξὺ τὰ ἀδέλφια της τοὺς Διοσκούρους, νομίζει ὅτι αὐτοὶ δὲν εἶχαν πορευθεῖ στὴν Τροία ἀπὸ ντροπή, ἐπειδὴ (αὐτὴ) προηγουμένως ἁρπάχτηκε ἀπὸ τὸν Θησέα, ὅπως ἔχει λεχθεῖ πιὸ πάνω· ἐξαιτίας, ὡς γνωστό, τῆς ἁρπαγῆς ποὺ ἔγινε τότε, ἐκπορθεῖται ἡ πόλη τῆς ᾽Αττικῆς ῞Αφιδνα καὶ τραυματίζεται στὸν δεξιὸ μηρὸ ἀπὸ τὸν τότε βασιλιὰ ῞Αφιδνο ὁ Κάστωρ. Κι οἱ Διόσκουροι μὴ βρί-

τυχόντες λαφυραγωγοῦσι τὰς Ἀθήνας. ἡ ἱστορία παρὰ τοῖς Πολεμωνίοις ἢ τοῖς κυκλικοῖς καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι
10 *τῶι λυρικῶι* (fr. 21 P.).

[Vid. Ludwich *TextU* N 15, cum siglis; fr. 10 All. (vid. et *CR* 27 [1913] 190), 21 X., 12 Da., 13 Be. (ubi et similia), 12* We.] 2-3 *δι' αἰσχύνην* Xyd. Be. (fort. recte) 6 *Ἀφίδνου* Bekker: *Φίδνου* vel *Φνίδου* vel *Φνιδοῦ* codd. 8 *Ἀθήνας* A, edd.: *ἀφίδνας* D 8-9 *τοῖς Πολεμωνίοις* Dindorf, it. All. Da., et nos dubit. (†*τοῖς πολεμωνίοις*† We.); *τοῖς πολυωνύμοις* Valk, it. Be.; *Πολέμωνι* Fabricius, it. Xyd.: *τοῖς τελαμωνίοις* JV^{b}, *-μονίοις* F^{r}; *τοῖς λεμονίοις* D^{c}, *τοῖς λεμονίοις* E^{h}; om. L^{d} 9 *ἢ τοῖς* A, edd.: *ἤτοι* D, Fabr.

[ΕΙΚ. 58] ΑΡΙΑΔΝΗ – ΘΗCΕΥC
(*Πάφος* [«Οἰκία τοῦ Θησέως»], 3/4 αἰ. μ.Χ. Δεξιά: λεπτομέρεια)

F21

Schol. Hom. Π 57

Πόλιν εὐτείχεα πέρσας (sc. *Ἀχιλλεύς*, unde Briseida cepit)· *τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί, αὐτὸς δὲ* (sc. *Ὅμηρος*, B
3 690) *Λυρνησσ⟨σ⟩όν.*

[Vid. Schol. Hom. *Il.* ed. Erbse; fr. 18 A., 21 Da., 27 Be., 23 We.] 1 "le. add. V^{c}, fort. correctius *πόλιν εὐτείχεα*" adnot. Erbse 3 *Λυρνησσ⟨σ⟩όν* suppl. Allen.

F22

Eust. in A 366

Ἱστοροῦσι δέ τινες ὅτι ἐκ τῶν Ὑποπλακίων Θηβῶν ἡ Χρυσηὶς ἐλήφθη, οὔτε καταφυγοῦσα ἐκεῖ οὔτ' ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις ἤτοι
4 *συμπολῖτις Ἀνδρομάχης οὖσα.*

Cf. Schol. Hom. A 366 (Ludwich *TextU* II 6) *ἔνιοι δέ φασιν ὅτι καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη. τῆς γὰρ Χρύσης, φασίν, οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέραι καὶ μείζονι τῆι Θήβηι οἱ*

σκοντας τὸν Θησέα λαφυραγωγοῦν τὶς Ἀθῆνες. Ἡ ἱστορία βρίσκεται στὰ Πολεμώνια (στὸν Πολέμωνα) ἢ στὰ ποιήματα τοῦ Κύκλου καὶ κατὰ ἕνα μέρος στὸν λυρικὸ ποιητὴ Ἀλκμάνα.





F21

Σχόλ. Ὁμ. Π 57

Πόλη καλοτειχισμένη ἀφοῦ ἐκπολιόρκησε (δηλ. ὁ Ἀχιλλέας, ἀπ' ὅπου πῆρε τὴ Βρισηίδα)· τὴν Πήδασο (λὲν) οἱ ποιητὲς τῶν *Κυπρίων*, ἐνῶ ὁ ἴδιος (δηλ. ὁ Ὅμηρος, στὸ Β 690) τὴ Λυρνησσό.

[Ἡ περίληψη τοῦ Πρόκλου στηρίζει τὴν ἐδῶ –πρὸς τὸ τέλος τοῦ ἔπους– κατάταξη τῶν ἀποσπ. 21-24.]

F22

Εὐστ. στὸ Α 366

Διηγοῦνται δὲ μερικοὶ ὅτι ἀπὸ τὶς Ὑποπλάκιες Θῆβες πῆραν τὴ Χρυσηίδα, ποὺ δὲν κατέφυγε ἐκεῖ, οὔτε ἦλθε γιὰ θυσία στὴν Ἄρτεμη, ὅπως εἶπε αὐτὸς ποὺ σύνθεσε τὰ *Κύπρια*, ἀλλ' ἦταν κάτοικος τῆς πόλης, δηλαδὴ συμπολίτισσα τῆς Ἀνδρομάχης.

Πβ. Σχόλ. Ὁμ. Α 366: Μερικοὶ λὲν ὅτι καὶ ἡ Χρυσηίδα αἰχμαλωτίστηκε στὶς Θῆβες. Γιατί, λέν, ἐπειδὴ ἡ Χρύση ἦταν μιὰ μικρὴ πολίχνη ἀτείχιστη καὶ ἀσήμαντη, μὲ τὴ σκέψη ὅτι ἡ Θήβα ἦταν ἀσφαλέστερη καὶ μεγαλύτερη οἱ

ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον; cf. etiam Schol. bT in v. (Erbse) *εἰς Θήβας δὲ ἥκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφήν, Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι ἅλω ὑπὸ Ἀχιλλέως.*

[Vid. Eust. *Il.* ed. van der Valk; fr. 19 All., 22 D., 28 Be., 22 We.]

F23

Paus. 10.31.2

Παλαμήδην δὲ ἀποπνιγῆναι προελθόντα ἐπὶ ἰχθύων θήραν, Διομήδην δὲ τὸν ἀποκτείναντα εἶναι καὶ Ὀδυσσέα ἐπιλεξάμε-
3 *νος ἐν ἔπεσιν οἶδα τοῖς Κυπρίοις.*

[Vid. Paus. edd. Spiro et Rocha-Pereira, et Papachatzis; fr. 21 All., 20 Da., 30 Be., 27 We.] 2 *εἶναι* et *Ὀδυσσέα* om. P.

F24

Schol. Eur. *Hec.* 41

Τύμβωι φίλον πρόσφαγμα· ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν (sc. *Πολυξένην*) *σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος* (fr. 26 P.)· *ὁ δὲ τὰ Κυπριακὰ ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῆι τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι,*
5 *ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος* (*FGrH* 806 F 6a) *γράφει. ἄλλοι δέ φασι συνθέμενον Πριάμωι τὸν Ἀχιλλέα περὶ τοῦ Πολυξένης γάμου ἀναιρεθῆναι ἐν τῶι τοῦ Θυμβραίου Ἀπόλλωνος ἄλσει.*

[Vid. Schol. Eur. ed. Schwartz (I 17.4-9), cum siglis; fr. 26 All., 27 Da., 34 Be.] 1-5 cf. ibid. (schol. A, I 16.31 – 17.1-3 Schw.) *τύμβωι φίλον· Γλαῦκος ἐν τῆι † προηγήσει* ("legi velim *ἐν τῆι πορθήσει* ut dittographia sit eorum quae sequuntur" adnot. Schw.) *φησὶν ἐν τῆι ἁλώσει τῆς πόλεως τ⟨ραυμα⟩τισθεῖσαν τὴν Πολυξένην ⟨ἀπολέσθαι, τ⟩αφῆναι δὲ αὐτὴν ὑπὸ Νεοπτο⟨λέμου. Ἴβυ⟩κος δὲ σφαγῆναί φησιν ὑπὸ Διομ⟨ήδους καὶ Ὀ⟩δυσσέως* 2-3 *καὶ* pro *ὁ δὲ* A 3 *φησὶν* om. A 4 *τραυματισθῆναι εἰσαναπολεῖσθαι* M 5-7 *ταφῆναι – ἄλσει* om. A ‖ num *ὡς ⟨καὶ⟩ Γλαῦκος γράφει* ?

δικοί της εἶχαν καταφύγει ἐκεῖ λόγω τοῦ πολέμου. Πβ. ἐπίσης Σχόλ. bT στὸν στ.: Στὶς Θῆβες δὲ ἀφοῦ ἔφτασε ἡ Χρυσηίδα, στὴν ἀδελφὴ τοῦ Ἠετίωνα Ἰφινόη τὴν κόρη τοῦ Ἄκτορος, ἡ ὁποία θυσίαζε στὴν Ἄρτεμη, αἰχμαλωτίστηκε ἀπὸ τὸν Ἀχιλλέα.

[Γιὰ τὸ *ἐπὶ θυσίαν* τοῦ στ. 2 βλ. κατωτ. σημ. σ.στ. 1 κέ.]

F23

Παυσ. 10.31.2

Διάβασα στὰ *Κύπρια ἔπη* καὶ ξέρω πὼς ὁ Παλαμήδης πνίγηκε ἀφοῦ βγῆκε γιὰ ψάρεμα, καὶ πὼς ὁ Διομήδης εἶναι ποὺ τὸν σκότωσε καὶ ὁ Ὀδυσσέας.

[Βλ. τὸ ὅλο χωρίο τοῦ Παυσανία, μὲ ἀναφορὰ στὸν Πολύγνωτο, ὁ ὁποῖος –στὴ *Νέκυιαν*– *ἐς τὸ αὐτὸ ἐπίτηδες τοῦ Ὀδυσσέως τοὺς ἐχθροὺς ἤγαγεν*.]

F24

Σχόλ. Εὐρ. *Ἑκάβ.* 41

Στὸν τύμβο ἀγαπητὸ σφάγιο: Ὁ Εὐριπίδης καὶ ὁ Ἴβυκος λὲν ὅτι αὐτὴ (δηλ. ἡ Πολυξένη) σφαγιάστηκε ἀπὸ τὸν Νεοπτόλεμο· αὐτὸς ὅμως ποὺ σύνθεσε τὰ *Κυπριακὰ* λέει πὼς κατὰ τὴν ἅλωση τῆς πόλης τραυματίστηκε ἀπὸ τὸν Ὀδυσσέα καὶ τὸν Διομήδη καὶ πέθανε, τάφηκε δὲ ἀπὸ τὸν Νεοπτόλεμο, ὅπως γράφει ὁ Γλαῦκος. Ἄλλοι πάλι λένε πὼς ἀφοῦ συμφώνησε ὁ Ἀχιλλέας μὲ τὸν Πρίαμο γιὰ τὸν γάμο τῆς Πολυξένης σκοτώθηκε στὸ ἄλσος τοῦ Θυμβραίου Ἀπόλλωνα.



[Εικ. 59]
Οδυσσευς
και Διομηδης
(Λεπτομέρεια
Εἰκ. 22.1)

F25

Schol. Eur. *Andr.* 898

Λυσίμαχος (*FGrH* 382 F 12) *καὶ ἄλλοι τινὲς ἱστοροῦσιν γενέσθαι ἐξ Ἑλένης καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας* (*FGrH* 758 F 6) *Πλεισθένην φησί, μεθ' οὗ εἰς Κύπρον ἀφῖχθαι καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Ἀλεξάνδρωι Ἄγανον.*

[Vid. Schol. Eur. ed. Schwartz (II 305.23-306.2), cum siglis; fr. 9 All., 10 Da., 12 Be./26 Xyd.] 2 *νικοστράτεον* N, *-άταιον* O 3 *συγγράψας* A ‖ *πλεισθένει* NO 5 *Ἄγανον* All. Da. Be./Jac. (ll.cc.), *ἄγανον* MA; *ἀγανόν* NO (num *Ἀλέξανδρον ἀγανόν* ?): *Ἀγαυόν* Cobet, Xyd.; *Ἄγανιν* Hadjioannou: *Ἀγλαόν* Schwartz (adnot.).

F26

Herodian. *Περὶ μον. λέξ.* 9

Καὶ ἡ νῆσος (sc. *Σαρπηδών*) *ἰδίως ἐν Ὠκεανῶι Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησί·*

(v. 1) *Τῶι δ' ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα,*
αἳ Σαρπηδόνα ναῖον ἐπ' ὠκεανῶι βαθυδίνηι,
{ἣ} νῆσον πετρήεσσαν.

[Vid. Lentz *Herodian.* II.1 914.15; fr. 24 All., 26 Da., 32 Be., 30 We.] 3 (v. 1) *ὑποκυσαμένη* Dindorf: *ὑποκυσσαμένη* cod. (fort. recte) ‖ *αἰνὰ* Dindorf (metri gratia): *δεινὰ* cod. 4 (v. 2) *αἳ* Henrichsen: *καὶ* cod. ‖ *ἐπ'* cod. (it. All. Da.): *ἐν* Lehrs (it. Be.) 5 (v. 3) *ἣ* ante *νῆσον* del. Dindorf.



[ΕΙΚ. 60]
ΓΟΡΓΩ (ΜΕΔΟΥΣΑ) – ΠΕΡΣΕΥΣ
(Παράσταση στὴ μία στενὴ πλευρὰ σαρκοφάγου ἀπὸ τοὺς *Γόλγους*, β΄ τέταρτο 5ου αἰ. π.Χ. Δεξιά: λεπτομέρεια. *ΕΘΗρΑΚ 57α* [σσ. 98 κἑ.]. *ΜΜΑ*)

F25

Σχόλ. Εὐρ. *Ἀνδρομ.* 898

Ὁ Λυσίμαχος καὶ μερικοὶ ἄλλοι ἱστοροῦν πὼς γεννήθηκε ἀπὸ τὴν Ἑλένη καὶ ὁ Νικόστρατος. Αὐτὸς ὅμως ποὺ σύνθεσε τὶς Κυπριακὲς ἱστορίες (*FGrH* 758 F 6) (τὸν) λέει Πλεισθένη, μαζὶ μὲ τὸν ὁποῖο (λέει) ὅτι ἦρθε στὴν Κύπρο καὶ ὁ Ἄγανος ποὺ αὐτὴ γέννησε ἀπὸ τὸν Ἀλέξανδρο.

[Τὸ ὄνομα τοῦ υἱοῦ τῆς Ἑλένης καὶ τοῦ Πάρη δὲν μαρτυρεῖται ἀλλοῦ. Οἱ ἐκδότες γράφουν *Ἄγανον* (Allen κ.ἄ.), *Ἀγανόν* (Cobet καὶ Ξυδᾶς), *Ἄγανιν* (Χατζηιωάννου), *Ἀγλαόν* (Schwartz). Διερωτώμεθα μήπως πρέπει νὰ γράψουμε *Ἀλέξανδρον ἀγανόν* (ἢ *ἀγαυόν*) ἢ ἀκόμα *Ἀλεξάνδρωι ἀγανῶι* (ἢ *ἀγαυῶι*). Βλ. κατωτ. σημ. σ.στ. 5.]

F26

Ἡρωδιαν. *Περὶ μον. λέξ.* 9

Καὶ τὸ νησὶ (δηλ. ἡ Σαρπηδὼν) μέσα στὸν Ὠκεανό, ποὺ εἶναι κυρίως κατοικία τῶν Γοργόνων, ὅπως λέει αὐτὸς ὁ ὁποῖος σύνθεσε τὰ *Κύπρια*:

(στ. 1) Ἀπ᾽ αὐτὸν γκαστρώθηκε καὶ τὶς Γοργόνες γέννησε, τὰ φοβερὰ τὰ τέρατα
ποὺ στὴ Σαρπηδόνα κατοικοῦσαν στὸν βαθυκύματο τὸν ὠκεανό,
στὴν ὅλο βράχια νῆσο.

[Ὁ ὀβελισμὸς τοῦ *ἦ* στὸν τελευταῖο στ. ἀπὸ τὸν Dindorf εἶναι εὔστοχος.]



4. ΗΓΗΣΙΑΣ / ΗΓΗΣΙΝΟ(Υ)Σ

T1

Athen. 15, 682d-e (vid. supra 3 F4.1 sqq.)

Ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος· Δημαδάμας γὰρ ὁ Ἁλι-
3 *καρνασσεὺς ἢ Μιλήσιος ἐν τῶι περὶ Ἁλικαρνασσοῦ* (*FGrH* 428 F1) *Κύπρια, Ἁλικαρνασσέως δὲ αὐτὰ εἶναί φησι ποιήματα.*

T2

Phot. *Bibl.* cod. 239.319a-b (vid. supra 3 T1.16 sqq.)

Λέγει δὲ (sc. *Πρόκλος ἐν τῶι Χρηστομαθίας γραμματικῆς ἐκλογαί*) *καὶ περί τινων Κυπρίων ποιημάτων καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησῖνον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον γρά-*
5 *ψαι, δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνωι καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι.*

F1

Paus. 9.29.1 sqq.

Ταῦτα μὲν δὴ ἔχοντά ἐστιν οὕτω, θῦσαι δὲ ἐν Ἑλικῶνι Μούσαις πρώτους καὶ ἐπονομάσαι τὸ ὄρος ἱερὸν εἶναι Μουσῶν Ἐφιάλτην καὶ Ὦτον λέγουσιν, οἰκίσαι δὲ αὐτοὺς καὶ Ἄσκρην. καὶ δὴ καὶ Ἡγησίνους (*FGrH* 331 F 1) *ἐπὶ τῶιδε ἐν τῆι*
5 *Ἀτθίδι ἐποίησεν·*

(v. 1) *Ἄσκρηι δ' αὖ παρέλεκτο Ποσειδάων ἐνοσίχθων,*
ἣ δή οἱ τέκε παῖδα περιπλομένων ἐνιαυτῶν

4. ΗΓΗΣΙΑΣ / ΗΓΗΣΙΝΟ(Υ)Σ

T1

Ἀθήν. 15, 682d-e (βλ. ἀνωτ. 3 F4.1 κἑ.)

Ἄνθη γιὰ στεφάνια μνημονεύει αὐτὸς ὁ ὁποῖος ἔχει συνθέσει τὰ *Κύπρια ἔπη* Ἡγησίας ἢ Στασίνος· γιατὶ ὁ Δημοδάμας ἀπὸ τὴν Ἁλικαρνασσὸ ἢ τὴ Μίλητο στὸ *Περὶ Ἁλικαρνασσοῦ* (τὰ ὀνομάζει μὲν) *Κύπρια*, ὑποστηρίζει ὅμως ὅτι αὐτὰ εἶναι ποιήματα κάποιου Ἁλικαρνασσέα.

T2

Φωτ. *Βιβλ.* κώδ. 239 319a-b (βλ. ἀνωτ. 3 T1.16 κἑ.)

Κάνει δὲ λόγο (δηλ. ὁ Πρόκλος στὸ ἔργο του *Χρηστομάθεια γραμματική*) καὶ γιὰ κάποια *Κύπρια* ποιήματα καὶ λέγει πὼς ἄλλοι μὲν τὰ ἀποδίδουν στὸν Στασίνο τὸν Κύπριο, ἐνῶ ἄλλοι θεωροῦν ὡς ποιητή τους τὸν Ἡγησίνο τὸν Σαλαμίνιο, κι ἄλλοι λὲν πὼς τὰ ἔγραψε ὁ Ὅμηρος καὶ πὼς τὰ ἔδωσε γιὰ προίκα τῆς κόρης του στὸν Στασίνο καὶ ἀπὸ τὴν πατρίδα αὐτοῦ τὸ ἔργο ὀνομάστηκε *Κύπρια*.

F1

Παυσ. 9.29.1 κἑ.

Αὐτὰ λοιπὸν ἔτσι ἔχουν. Λένε δὲ πὼς ὁ Ἐφιάλτης καὶ ὁ Ὦτος θυσίασαν στὶς Μοῦσες πρῶτοι στὸν Ἑλικώνα καὶ ὅρισαν νὰ εἶναι τὸ ὄρος ἱερὸ τῶν Μουσῶν καὶ κατοίκισαν τὴν Ἄσκρη. Καὶ ὁ Ἡγησίνους (*FGrH* 331 F 1) γι' αὐτὸ τὸ θέμα στὸ ποίημά του *Ἄθις* σύνθεσε τοὺς ἑξῆς στίχους:

(στ. 1) Μὲ τὴν Ἄσκρη πάλι ξάπλωσε ὁ κοσμοσείστης Ποσειδώνας,
κι αὐτὴ ὡς γνωστὸ στὸ κύλισμα τοῦ χρόνου γιὸ τοῦ γέννησε

Οἴοκλον, ὃς πρῶτος μετ' Ἀλωέος ἔκτισε παίδων
Ἄσκρην, ἣ θ' Ἑλικῶνος ἔχει πόδα πιδακόεντα.

Ταύτην τοῦ Ἡγησίνου τὴν ποίησιν (*FGrH* 331 T 1) *οὐκ ἐπελεξάμην, ἀλλὰ πρότερον ἄρα ἐκλελοιπυῖα ἦν πρὶν ἢ ἐμὲ γενέσθαι. Κάλλιππος δὲ Κορίνθιος ἐν τῇ ἐς Ὀρχομενίους συγγραφῇ* (*FGrH* 385 F 1) *μαρτύρια ποιεῖται τῶι λόγωι τὰ Ἡγησίνου ἔπη, ὡσαύτως δὲ καὶ ἡμεῖς πεποιήμεθα παρ' αὐτοῦ Καλλίππου διδαχθέντες.*

[Vid. Paus. edd. Spiro et Rocha-Pereira (cum siglis), et Papachatzis; vid. etiam *FGrH* 331 (Hegesinus) T 1 ac F 1 (: J.[1]) atque 385 (Kallippos von Korinth) F 1 (: J.[2]), et *FHG* IV 352 (Mü.).] 1-2 *μούσαις* scr. Pap. 7 (v. 2) v.l. *ἤδη* (pro *ἣ δή*) 9 (v. 4) v.l. *τ'* (pro *θ'*) 10 v.l. *ταύτην τὴν κλῆσιν οὖ* 13-14 *τὰ Ἡγησίνου ἔπη* (it. Sp. J.[1]; et. Pap., adnotans «προτάθηκε: *ταῦτα Ἡγησίνου τὰ ἔπη*») et *Ἡγησίνου τὰ ἔπη* (it. J.[2]), vel *τὰ ἔπη* (om. *Ἡγ.*; *τὰ ⟨Ἡγησίνου⟩ ἔπη* scr. RP.) 14 *παρὰ τοῦ* (pro *παρ' αὐτοῦ*) Schubart – Walz («προτάθηκε: *παρὰ τοῦ Καλλίππου διδαχθέντες*» adnot. Pap.).

[ΕΙΚ. 61]
ΠΟΣΕΙΔΩΝ ΚΑΙ ΑΜΥΜΩΝΗ
καὶ πτερωτὸς ΕΡΩΣ
(*Πάφος* [«Οἰκία Διονύσου»],
ἀρχὲς 3ου αἰ. π.Χ.)

τὸν Οἴοκλο, ποὺ πρῶτος μὲ τοῦ Ἀλωέα τὰ παιδιὰ ἔκτισε
τὴν Ἄσκρη, ποὺ στοῦ Ἑλικώνα κείτεται τὴ βρυσομάνα ρίζα.

Αὐτὴ τὴν ποίηση τοῦ Ἡγησίνου (*FGrH* 331 T 1) δὲν μπόρεσα νὰ τὴ διαβάσω, ἀλλὰ προφανῶς ἔχει χαθεῖ πρὶν γεννηθῶ ἐγώ. Ὁ Κάλλιππος ὅμως ὁ Κορίνθιος στὸ σύγγραμμά του γιὰ τοὺς Ὀρχομενίους (*FGrH* 385 F 1) δίνει μαρτυρίες γραπτὲς γιὰ τὰ ἔπη τοῦ Ἡγησίνου, ὡσαύτως δὲ καὶ ἐμεῖς ἀπ' αὐτὸν τὸν Κάλλιππο ἀντλώντας ἔχουμε κάνει μνεία.



5. ΟΜΗΡΙΚΟΙ ΥΜΝΟΙ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ

Y1 (V). *Εἰς Ἀφροδίτην*

Μοῦσά μοι ἔννεπε ἔργα πολυχρύσου Ἀφροδίτης
Κύπριδος, ἥ τε θεοῖσιν ἐπὶ γλυκὺν ἵμερον ὦρσε
καί τ' ἐδαμάσσατο φῦλα καταθνητῶν ἀνθρώπων
οἰωνούς τε διπετέας καὶ θηρία πάντα,
ἠμὲν ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδ' ὅσα πόντος·
πᾶσιν δ' ἔργα μέμηλεν ἐϋστεφάνου Κυθερείης.
τρισσὰς δ' οὐ δύναται πεπιθεῖν φρένας οὐδ' ἀπατῆσαι·
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην·
οὐ γάρ οἱ εὖαδεν ἔργα πολυχρύσου Ἀφροδίτης,
ἀλλ' ἄρα οἱ πόλεμοί τε ἄδον καὶ ἔργον Ἄρηος,
ὑσμῖναί τε μάχαι τε καὶ ἀγλαὰ ἔργ' ἀλεγύνειν.
πρώτη τέκτονας ἄνδρας ἐπιχθονίους ἐδίδαξε
ποιῆσαι σατίνα⟨ς⟩ καὶ ἅρματα ποικίλα χαλκῷ·
ἡ δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν
ἀγλαὰ ἔργ' ἐδίδαξεν ἐπὶ φρεσὶ θεῖσα ἑκάστῃ.
οὐδέ ποτ' Ἀρτέμιδα χρυσηλάκατον κελαδεινὴν
δάμναται ἐν φιλότητι φιλομμειδὴς Ἀφροδίτη·
καὶ γὰρ τῇ ἅδε τόξα καὶ οὔρεσι θῆρας ἐναίρειν,

[Vid. ed. Humbert, cum siglis; vid. etiam edd. Allen et Càssola, et West (Hu., All., Càss. et We. infra).] Titulus: *εἰς ἀφροδίτην* codd. plerique (*fx*): *ὕμνος εἰς ἀφροδίτην p*At: *τοῦ αὐτοῦ ὁμήρου ὕμνοι εἰς ἀφροδίτην* M 3 *κατὰ θνητῶν* M*fp* 4 *διπετέας fxp*; *διει-* post Schulze scr. Càss., it. We.: *διπετέα* M 6 *πᾶσιν δ' ἔργα x*APQ, it. All. Hu. We.: *πᾶσι δ' ἔργα* M*f*BγV; *πᾶσι δὲ ἔργα* post Hoffmann et Flach scr. Càss. 8 *γλαυκῶπιν* M, it. All. Hu. We. (post Abel): *γλαυκῶπιδ' fxp*, it. Càss. (fort. recte, cf. Hom. hymn. III.323) ‖ *ἀθηναίην f* 9 *ἄδεν* (pro *εὖαδεν*) Matthiae 10 *ἀλλά ῥα* Mγ ‖ *ἄδον* M; *ἄδον* Q: *ἄδεν* γ; *ἄδεν f*L*p* 10-11 *ἄδον … μάχαι τε* om. *α* 13 *σατίνα⟨ς⟩* post Barnes (in textu) et All. dubit. scripsimus; *σατίνα⟨ς τε⟩* post Barnes in adnot. et Ruhnkenius scr. Hu. Càss. We. (fort. recte): *σάτινα* vel *σατίνα* M*xp* (et Chalc[ocondyles]); *σκύτινα f*; *σάκεα* $\gamma^{mg.}$ 14 *ἥδε* (*ἣ δὲ* Hermann) et *ἠδέ* codd. 16 *χρυσηλάκατον* M*p* (et Chalc.), edd.: *χρυσήλατον fx* ‖ *κελαδινὴν a* 17 *φιλομειδὴς* MD*x* 18 *πουλύχρυσα δὲ* (pro *καὶ γὰρ τῇ ἅδε*) M

5. ΟΜΗΡΙΚΟΙ ΥΜΝΟΙ ΣΤΗΝ ΑΦΡΟΔΙΤΗ

Υ1 (V). *Στὴν Ἀφροδίτη*
Μοῦσα, τὰ ἔργα ψάλλε μου τῆς Ἀφροδίτης τῆς πολύχρυσης
τῆς Κύπριδας, ποὺ στοὺς θεοὺς γλυκὺ σήκωσε πόθο
καὶ δάμασε τὰ φύλα τῶν θνητῶν ἀνθρώπων
καὶ τὰ θεόθρεπτα πουλιὰ καὶ τὰ θηρία ὅλα,
κι ὅσα ἡ στεριὰ τρέφει πολλὰ κι ὅσα ὁ πόντος·
κι ὅλοι γιὰ τὰ ἔργα γνοιάζονται τῆς ὡριοστέφανης Κυθέρειας.
Τρία μυαλὰ μονάχα δὲν μπορεῖ νὰ πείσει ἢ ν' ἀπατήσει:
Τοῦ ἀσπιδοφόρου Δία τὴν κόρη τὴ γλαυκόφθαλμη Ἀθηνᾶ·
γιατὶ δὲν τὴν εὐχαριστοῦν τῆς Ἀφροδίτης τῆς πολύχρυσης τὰ ἔργα,
μὰ οἱ πόλεμοι στ' ἀλήθεια τῆς ἀρέσουν καὶ τὸ ἔργο τοῦ Ἄρη,
οἱ συμπλοκὲς κι οἱ μάχες, κι ἔργα λαμπρὰ νὰ ἑτοιμάζει·
πρώτη αὐτὴ τοὺς γήινους τεχνίτες δίδαξε
ἁμάξια κι ἅρματα νὰ φτειάχνουν χαλκοσκάλιστα·
κι αὐτὴ τὶς ἁπαλόδερμες παρθένες στὰ παλάτια
λαμπρὰ δίδαξε ἔργα στῆς καθεμιᾶς τους βάζοντάς τα τὸ μυαλό.
Οὔτε ποτὲ τὴ χρυσοδόξαρη Ἄρτεμη τὴ βροντόλαλη
δαμάζει μ' ἔρωτα ἡ καλογέλαστη Ἀφροδίτη·
γιατὶ σ' αὐτὴν ἀρέσκουνε τὰ τόξα, καὶ στὰ βουνὰ θηρία νὰ σκοτώνει,



[Εικ. 62]
Αθηνα καὶ Αρτεμις
(Πήλινο εἰδώλιο Ἀθηνᾶς
ἀπὸ τοὺς Σόλους [Κακοπετριά],
5ου αἰ. π.Χ. *KM* [ἀριστερά] /
Ἀσβεστολιθικὸ ἄγαλμα
Ἄρτεμης ἀπὸ τὸ *Κίτιον* [Πύλα],
τῶν ἀρχῶν τῆς Ἑλληνιστικῆς
περιόδου. *AnAC* 421)

φόρμιγγές τε χοροί τε διαπρύσιοί τ' ὀλολυγαὶ
ἄλσεά τε σκιόεντα δικαίων τε πτόλις ἀνδρῶν.
οὐδὲ μὲν αἰδοίηι κούρηι ἄδεν ἔργ' Ἀφροδίτης
Ἰστίηι, ἣν πρώτην τέκετο Κρόνος ἀγκυλομήτης,
αὖτις δ' ὁπλοτάτην, βουλῆι Διὸς αἰγιόχοιο,
πότνιαν, ἣν ἐμνῶντο Ποσειδάων καὶ Ἀπόλλων·
ἡ δὲ μάλ' οὐκ ἔθελεν ἀλλὰ στερεῶς ἀπέειπεν,
ὤμοσε δὲ μέγαν ὅρκον, ὃ δὴ τετελεσμένος ἐστίν,
ἁψαμένη κεφαλῆς πατρὸς Διὸς αἰγιόχοιο,
παρθένος ἔσσεσθαι πάντ' ἤματα, δῖα θεάων·
τῆι δὲ πατὴρ Ζεὺς δῶκε καλὸν γέρας ἀντὶ γάμοιο,
καί τε μέσωι οἴκωι κατ' ἄρ' ἕζετο πῖαρ ἑλοῦσα.
πᾶσιν δ' ἐν νηοῖσι θεῶν τιμάοχός ἐστι
καὶ παρὰ πᾶσι βροτοῖσι θεῶν πρέσβειρα τέτυκται.
τάων οὐ δύναται πεπιθεῖν φρένας οὐδ' ἀπατῆσαι·
τῶν δ' ἄλλων οὔ πέρ τι πεφυγμένον ἔστ' Ἀφροδίτην
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.
καί τε παρὲκ Ζηνὸς νόον ἤγαγε τερπικεραύνου,
ὅς τε μέγιστός τ' ἐστί, μεγίστης τ' ἔμμορε τιμῆς·
καί τε τοῦ εὖτ' ἐθέλοι πυκινὰς φρένας ἐξαπαφοῦσα
ῥηϊδίως συνέμιξε καταθνητῆισι γυναιξὶν
Ἥρης ἐκλελαθοῦσα κασιγνήτης ἀλόχου τε,
ἣ μέγα εἶδος ἀρίστη ἐν ἀθανάτηισι θεῆισι,
κυδίστην δ' ἄρα μιν τέκετο Κρόνος ἀγκυλομήτης
μήτηρ τε Ῥείη· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
αἰδοίην ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν.
Τῆι δὲ καὶ αὐτῆι Ζεὺς γλυκὺν ἵμερον ἔμβαλε θυμῶι
ἀνδρὶ καταθνητῶι μιχθήμεναι, ὄφρα τάχιστα
μηδ' αὐτὴ βροτέης εὐνῆς ἀποεργμένη εἴη
καί ποτ' ἐπευξαμένη εἴπηι μετὰ πᾶσι θεοῖσιν
ἡδὺ γελοιήσασα φιλομμειδὴς Ἀφροδίτη
ὥς ῥα θεοὺς συνέμιξε καταθνητῆισι γυναιξὶ

20 *πτόλις* Chalc., $\gamma^{mg.}$: *πόλις fx*; *πόλεις* M; *πόνος p* 22 *Ἰστίηι* (*ἰ-*) *xp* (*ἱστιῆ* L): *ἑστίη* M*f* 25 *ἔθελεν* codd., edd.: *ἐθέλεσκ'* Hermann ‖ *στερρῶς* M 30 *κατὰρ* et *πεῖαρ* M 31 *ἐστι* (plerique) et *ἐστιν* (MAQ, it. Càss. et We.) codd. 36 *τι* (pro *τε*) M ‖ *παρὲκ fx*; *παρεκ p*: *παρ' ἐκ* M 37 *τ'* (ante *ἐστί*) om. M 38 *εὖτ' ἐθέλοι f*, Barnes van Eck We.; *εὖτε θέλοι xp* Chalc., All. Hu.: *εὖτ' ἐθέλη* cum punctis in marg. M, Wolf Càss. 39 (et 50) *καταθνητῆισι* Chalc., it. All. Hu.; *κατὰ θνητῆσι* M*fx*: *κατὰ θνητοῖσι p*; *καταθνητοῖσι* Càss. 42 *τέκε* (pro *τέκετο*) M 46 *κατὰ θνητῶι* M*fp* ‖ *μιγήμεναι f* 47 *βροτέας* M ‖ *ἀποεργμένη* M*γ* 49 *γελάσασα* M ‖ *φιλομμειδὴς* Estienne, edd.: *φιλομειδὴς* codd. 50 *σύμμιξε* M (fort. recte)

κι οἱ φόρμιγγες καὶ οἱ χοροὶ κι οἱ ἐκκωφαντικοὶ ἀλαλαγμοὶ
καὶ τὰ ἄλση τὰ σκιερὰ καὶ τῶν ἀνδρῶν τῶν δίκαιων ἡ πόλη·
Κι οὔτε στὴν κόρη τὴ σεμνὴ ἀρέσκουνε τῆς Ἀφροδίτης τὰ ἔργα
τὴν Ἑστία, ποὺ πρώτη γέννησε ὁ Κρόνος ὁ πανοῦργος,
νεώτατη ὅμως πάλι, μὲ θέλημα τοῦ ἀσπιδοφόρου Δία,
σεβάσμια, ποὺ τὴν ἀγάπη της ζητοῦσαν νὰ κερδίσουν ὁ Ποσειδώνας
κι ὁ Ἀπόλλων·
ὅμως αὐτὴ διόλου δὲν ἤθελε καὶ σθεναρὰ τὴν ἄρνησή της εἶπε
κι ὅρκον ὁρκίστηκε μεγάλο, ποὺ ἐκπληρωμένος εἶναι,
τὴν κεφαλὴ ἀφοῦ ἄγγιξε τοῦ αἰγίοχου πατέρα Δία,
παρθένα νά 'ν' παντοτινά, ἡ πάνσεπτη θεά·
σ' αὐτὴ λοιπὸν ὁ Δίας πατέρας ἔδωκε τιμὴ μεγάλη ἀντὶ γάμου,
κι ἔτσι στὸ μέσο τοῦ σπιτιοῦ ἑδρεύει τὴν ἄριστη λαμβάνοντας μερίδα·
καὶ στῶν θεῶν ὅλους τοὺς ναοὺς τιμὲς ἀπολαμβάνει
κι ἀπ' ὅλους τοὺς θνητοὺς πρέσβειρα τῶν θεῶν λογιέται.
Ἐτούτων τὰ μυαλὰ δὲν ἠμπορεῖ νὰ πείσει ἢ ν' ἀπατήσει·
ἀπὸ τοὺς ἄλλους ὅμως τίποτα τῆς Ἀφροδίτης δὲν ξεφεύγει
οὔτε ἀπ' τοὺς μακάριους θεοὺς οὔτε ἀπ' τοὺς θνητοὺς ἀνθρώπους.
Ὡς καὶ τοῦ Δία τὸν νοῦ ξεπλάνεψε τοῦ τερπικέραυνου,
ποὺ ὁ πιὸ μεγάλος εἶναι κι ἡ πιὸ μεγάλη τοῦ 'λαχε τιμή·
καὶ αὐτοῦ ὅσες φορὲς τὸ θέλησε τὸν συνετό του νοῦ ἐξαπατώντας
εὔκολα μὲ θνητὲς τὸν ἔσμιξε γυναῖκες
τὴν ἀδελφὴ καὶ σύζυγό του Ἥρα νὰ λησμονήσει κάνοντας,
ποὺ στὶς ἀθάνατες ἀνάμεσα στὴν ὀμορφιὰ ἡ πρώτη πρώτη ἦταν
καὶ πάνδοξη ὡς γνωστὸ τὴ γέννησε ὁ Κρόνος ὁ πανοῦργος
κι ἡ μάνα Ρέα· κι ὁ Δίας ποὺ ἀλάνθαστες τὶς σκέψεις ἔχει
σεβάσμια σύζυγο τὴν ἔκανε γιομάτη φρονιμάδα ὡς ἦταν.
Σ' αὐτῆς τῆς ἴδιας τὴν καρδιὰ πόθο γλυκὸν ὁ Δίας ἔβαλε
μ' ἄντρα θνητὸ νὰ σμίξει, ὥστε ταχύτατα
μήτε κι αὐτὴ ἀπὸ θνητὸ κρεβάτι νά 'ν' ἀποκλεισμένη,
μήτε ποτὲ μὲ καυχησιὰ νὰ πεῖ μπρὸς σ' ὅλους τοὺς θεοὺς
φιλάρεσκα γελώντας ἡ φιλόγελη Ἀφροδίτη
πὼς ἔσμιξε θεοὺς μὲ τὶς θνητὲς γυναῖκες




[Εικ. 63]
Ζευς Ενθρονος
(Ὀπισθότυπος ἀργυροῦ τετραδράχμου
τοῦ Νικοκλῆ τῆς *Πάφου*
[πρὶν τὸ 320 π.Χ.]:
ΑΛΕΞΑΝΔΡΟΥ ΒΑΣΙΛΕΩ[Σ]. *MIKυN*)

καί τε καταθνητοὺς υἷεῖς τέκον ἀθανάτοισιν,
ὥς τε θεὰς ἀνέμιξε καταθνητοῖς ἀνθρώποις.
Ἀγχίσεω δ' ἄρα οἱ γλυκὺν ἵμερον ἔμβαλε θυμῷι,
ὃς τότ' ἐν ἀκροπόλοις ὄρεσιν πολυπιδάκου Ἴδης
βουκολέεσκεν βοῦς δέμας ἀθανάτοισιν ἐοικώς.
τὸν δ᾽ ἤπειτα ἰδοῦσα φιλομμειδὴς Ἀφροδίτη
ἠράσατ', ἐκπάγλως δὲ κατὰ φρένας ἵμερος εἶλεν.
ἐς Κύπρον δ' ἐλθοῦσα θυώδεα νηὸν ἔδυνεν
ἐς Πάφον, ἔνθα δέ οἱ τέμενος βωμός τε θυώδης.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίωι
ἀμβρότωι, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας,
ἀμβροσίωι ἑ⟨δ⟩ανῶι, τό ῥά οἱ τεθυωμένον ἦεν.
ἑσσαμένη δ' εὖ πάντα περὶ χροῒ εἵματα καλὰ
χρυσῶι κοσμηθεῖσα φιλομμειδὴς Ἀφροδίτη
σεύατ' ἐπὶ Τροίης προλιποῦσ' εὐώδεα Κύπρον
ὕψι μετὰ νέφεσι ῥίμφα πρήσσουσα κέλευθον.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
βῆ δ' ἰθὺς σταθμοῖο δι' οὔρεος· οἱ δὲ μετ' αὐτὴν
σαίνοντες πολιοί τε λύκοι χαροποί τε λέοντες
ἄρκτοι παρδάλιές τε θοαὶ προκάδων ἀκόρητοι
ἤϊσαν· ἡ δ' ὁρόωσα μετὰ φρεσὶ τέρπετο θυμὸν
καὶ τοῖς ἐν στήθεσσι βάλ' ἵμερον, οἱ δ' ἅμα πάντες
σύνδυο κοιμήσαντο κατὰ σκιόεντας ἐναύλους.
αὐτὴ δ' ἐς κλισίας εὐποιήτους ἀφίκανε·
τὸν δ' εὗρε σταθμοῖσι λελειμμένον οἷον ἀπ' ἄλλων
Ἀγχίσην ἥρωα θεῶν ἄπο κάλλος ἔχοντα.
οἱ δ' ἅμα βουσὶν ἔποντο νομοὺς κάτα ποιήεντας

51 *τέκεν fxp* 52 *δὲ* M ‖ *συνέμιξε* Schäfer apud Matthiae (p. VIII), it. Càss. (fort. recte) 53 *ἄρ'* seu *ἆρ* M*xp* 56 *δ᾽ ἤπ-*) codd., it. Càss. We., et nos dubit. (coll. Hes. *Theog.* 405, 562 al.; vid. West *Theog.* p. 100): *δὴ ἔπειτα* Hermann, it. All. Hu. 58 *ἐκ* L 59 *βωκὸς α* ‖ *δέ οἱ* codd., it. All. Hu. We.: *τέ οἱ* Hermann, it. Càss. (coll. Hom. hymn. XIX.31, ubi autem *δέ οἱ* codd.) ‖ num *δή* (pro *δέ* ?) ‖ *ἐς Πάφον,* (…) *θυώδης.* nos (cf. N 21 sqq. al.): *ἐς Πάφον·* (…) *θυώδης·* All. et We.; *ἐς Πάφον,* (…) *θυώδης·* Càss.; *ἐς Πάφον (ἔνθα … θυώδης).* Hu. 61 *χρίσ(σ)αν* codd. 63 *ἑδανῶι* Clarke (coll. Ξ 172), edd. (*ἑ⟨δ⟩ανῶι* We.; *ἀμβροσίωι, ἑδανῶι* interp. Càss.): *ἑανῶι* vel *ἐανῶι* codd. 66 *τροίης* M, it. edd.: *τροίην fxp* ‖ *Κύπρον fxp*, it. edd.: *κῆπον* M 67 *νέφεσι* (Matthiae, Càss. / *-ιν* All. We.) *ῥίμφα* M: *νεφέεσσι θοῶς fxp* (Hu.) 68-112 om. M 68 *θεῶν α* 71 *πορδάλιες* LBP 72 *ἤϊσαν* Ilgen, edd.: *ἦ-εσ(σ)αν* codd. 73 *μάλ' p* 76 *οἶον* L$\gamma^{p.c.}$ (Chalc., edd.): *οἷον f*; *οἷος αρ* $\gamma^{a.c.}$ 77 *ἄπο κάλλος* Stephanus, edd.: *ἀπὸ κάλλος fp*; *ἀποκάλλος x*

κι αὐτὲς θνητοὺς γεννῆσαν γιοὺς στοὺς ἀθανάτους,
καὶ πὼς θεὲς ἀνάμιξε μὲ τοὺς θνητοὺς ἀνθρώπους.
Γιὰ τὸν Ἀγχίση ἔτσι λοιπὸν πόθο γλυκὸ ἔβαλε στὴν καρδιά της,
ποὺ τότε στὶς ψηλὲς κορφὲς τῆς πολυπίδακης τῆς Ἴδης
ἔβοσκε βόδια στὸ παράστημα μὲ ἀθανάτους ὅμοιος.
Αὐτὸν λοιπὸν σὰν εἶδε ἡ φιλόγελη Ἀφροδίτη
ἐρωτεύτηκε, καὶ θαυμαστὰ στὰ σωθικά της πόθος τὴν κυρίεψε.
Στὴν Κύπρο τότε φθάνοντας μέσ' στὸν ναὸ τὸν μυρωμένο μπῆκε
στὴν Πάφο, ὅπου τέμενος κι εὐωδιαστὸς βωμός της εἶναι·
ἐδῶ ἀφοῦ μπῆκε αὐτὴ τὶς στραφτερὲς ἔκλεισε πόρτες.
Καὶ τότε οἱ Χάριτες τὴν ἔλουσαν καὶ τὴν ἀλεῖψαν λάδι
θεϊκό, ὅπως ἁρμόζει στοὺς θεοὺς ποὺ αἰώνιοι εἶναι,
μὲ θεϊκὸ γλυκόλαδο, γι' αὐτὴ ἀρωματισμένο ποὺ ἦταν.
Κι ὅταν ὡραῖα στὸ σῶμα ὅλα φόρεσε τὰ ὄμορφα τὰ ροῦχα
καὶ μὲ χρυσαφικὰ στολίστηκε ἡ φιλόγελη Ἀφροδίτη
ἔσπευσε γιὰ τὴν Τροία ἀφήνοντας τὴ μυρωμένη Κύπρο
ψηλὰ στὰ νέφη κόβοντας μ' εὐκινησία δρόμο.
Καὶ στὴν πολύβρυση ἔφτασε τὴν Ἴδη, τῶν ἄγριων θεριῶν τὴ μάνα,
κι εὐθεία τράβηξε στὴ στάνη τοῦ βουνοῦ· καὶ πίσω της
κουνώντας τὴν οὐρὰ λύκοι ψαρότριχοι κι ἀγριωπὰ λιοντάρια,
ἀρκοῦδες καὶ γοργοδρόμοι πάνθηρες ἀκόρεστοι γιὰ ἐλάφια
ἀκλουθοῦσαν· κι αὐτὴ θωρώντας μέσα της ὁλόψυχα χαιρόταν
κι ἔβαλε μέσ' τὰ στήθια τους τὸν πόθο, κι ἐκεῖνα ὅλα μαζὶ
συνδυὸ κοιμήθηκαν στὶς σκιερὲς φωλιές τους.
Κι αὐτὴ στὶς καλοκαμωμένες ἔφτασε καλύβες·
καὶ μέσ' στὴ στάνη ἀπὸ τοὺς ἄλλους ξεκομμένο βρῆκε
τὸν ἥρωα Ἀγχίση, ἀπ' τοὺς θεοὺς τὸ κάλλος ποὺ εἶχε.
Αὐτὰ ἀντάμα μὲ τὰ βόδια στοὺς χλοεροὺς βοσκότοπους τραβοῦσαν



[Εικ. 64] Ο Καλλωπισμος της Αφροδιτης
(*Ἄλασσα*, 5ος αἰ. μ.Χ. *Μουσεῖο Λεμεσοῦ*)

πάντες, ὁ δὲ σταθμοῖσι λελειμμένος οἷος ἀπ' ἄλλων
πωλεῖτ' ἔνθα καὶ ἔνθα διαπρύσιον κιθαρίζων.
στῆ δ' αὐτοῦ προπάροιθε Διὸς θυγάτηρ Ἀφροδίτη
παρθένωι ἀδμήτηι μέγεθος καὶ εἶδος ὁμοίη,
μή μιν ταρβήσειεν ἐν ὀφθαλμοῖσι νοήσας.
Ἀγχίσης δ' ὁρόων ἐφράζετο θαύμαινέν τε
εἶδός τε μέγεθός τε καὶ εἵματα σιγαλόεντα.
πέπλον μὲν γὰρ ἕεστο φαεινότερον πυρὸς αὐγῆς,
εἶχε δ' ἐπιγναμπτὰς ἕλικας κάλυκάς τε φαεινάς,
ὅρμοι δ' ἀμφ' ἁπαλῆι δειρῆι περικαλλέες ἦσαν
καλοὶ χρύσειοι παμποίκιλοι, ὡς δὲ σελήνη
στήθεσιν ἀμφ' ἁπαλοῖσιν ἐλάμπετο, θαῦμα ἰδέσθαι.
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος δέ μιν ἀντίον ηὔδα·
Χαῖρε ἄνασσ', ἥ τις μακάρων τάδε δώμαθ' ἱκάνεις,
Ἄρτεμις ἢ Λητὼ ἠὲ χρυσέη Ἀφροδίτη
ἢ Θέμις ἠϋγενὴς ἠὲ γλαυκῶπις Ἀθήνη
ἦ πού τις Χαρίτων δεῦρ' ἤλυθες, αἵ τε θεοῖσι
πᾶσιν ἑταιρίζουσι καὶ ἀθάνατοι καλέονται,
ἦ τις νυμφάων αἵ τ' ἄλσεα καλὰ νέμονται,
ἢ νυμφῶν αἳ καλὸν ὄρος τόδε ναιετάουσι
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
σοὶ δ' ἐγὼ ἐν σκοπιῆι, περιφαινομένωι ἐνὶ χώρωι,
βωμὸν ποιήσω, ῥέξω δέ τοι ἱερὰ καλὰ
ὥρηισιν πάσηισι· σὺ δ' εὔφρονα θυμὸν ἔχουσα
δός με μετὰ Τρώεσσιν ἀριπρεπέ' ἔμμεναι ἄνδρα,
ποίει δ' εἰσοπίσω θαλερὸν γόνον, αὐτὰρ ἔμ' αὐτὸν
δηρὸν ἐϋ ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο
ὄλβιον ἐν λαοῖς καὶ γήραος οὐδὸν ἱκέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε χαμαιγενέων ἀνθρώπων,
οὔ τίς τοι θεός εἰμι· τί μ' ἀθανάτηισιν ἐΐσκεις;
ἀλλὰ καταθνητή γε, γυνὴ δέ με γείνατο μήτηρ.

79 *οἷος* L: *οἷος fp*(*a*) 82 *τε* ante *καὶ* add. ABγP$^{p.c.}$Q (cf. v. 85) 84 *θαύ-μ*(*-μμ-*)*αινέν τε fx* (it. All. Hu. We.): *θάμβαινέν τε p*, Hermann (it. Càss.) 85 *τε καὶ* codd. (def. Smith): *καὶ* Flach (it. Allen) 87 v.l. *ἐπὶ γναμπτὰς* (prob. Kamerbeek; *ἔπι γναμπτὰς* prop. Heitsch) 89 *παμποίκιλοι,* (pro *παμποίκιλοι·*) interpunximus (: *ὅρμοι … ἐλάμπετο*, vid. infra ad loc.) 91 *δ' ἔρος* codd., edd.: *τάφος* Peppmüller 93 *χρυσέη* Barnes: *χρυσῆ* codd., it. We. (fort. recte; vid. infra ad loc.) 97 om. *a* 98 del. Ruhnken 99 *πίσεα* Ruhnken (coll. Hom. hymn. XIX.2): *πείσεα* L: *βήσεα fap* 105 *ἐϋ ζώειν* Barnes, edd. (*ἔϋ* We.): *ἐυζώειν* codd. 110 *καταθνητή x*: *κατὰ θνητή fp* ‖ *γε* Gemoll, it. All. Hu.: *τε* codd., it. Càss. We.

ὅλα, κι αὐτὸς στὴ στάνη ξέμακρα ἀπὸ τοὺς ἄλλους μόνος
ἐδῶ κι ἐκεῖ περιφερόταν ἠχηρὰ παίζοντας τὴν κιθάρα.
Καὶ στάθηκε μπροστά του τοῦ Δία ἡ κόρη ἡ ᾽Αφροδίτη
μ᾽ ἀνύπαντρη παρθένα σὲ παράστημα καὶ κάλλος ὅμοια,
μήπως μπροστά του βλέποντάς την συντρομάξει.
Κι ὁ ᾽Αγχίσης καλοκοίταζε καὶ θαύμαζε θωρώντας
τὴν ὀμορφιὰ καὶ τὸ παράστημα καὶ τὰ λαμπρὰ τὰ ροῦχα.
Γιατὶ πιὸ φωτεινὸ ἀπ᾽ τῆς φωτιᾶς τὴ λάμψη πέπλο εἶχε φορέσει,
καὶ σκουλαρίκια λαμπερὰ εἶχε στριφτά καὶ ρόδακες ἀστραφτεροὺς
καὶ περιδέραια περικαλλῆ στὸν ἁπαλὸ γύρω λαιμό της ἦταν
ὅμορφα χρυσὰ ὁλοστόλιστα, καὶ σὰν σελήνη
στὰ στήθη γύρω τ᾽ ἁπαλὰ λαμποκοποῦσαν, στὴν ὄψη θαῦμα.
Καὶ τὸν ᾽Αγχίση ἔρωτας κυρίευσε καὶ προσφωνώντας την τῆς εἶπε:

Χαῖρε βασίλισσα, ὅποια ἀπ᾽ τὶς θεὲς στὸ σπίτι τοῦτο φτάνεις,
ἡ ῎Αρτεμη ἢ ἡ Λητὼ ἢ κι ἡ χρυσῆ ᾽Αφροδίτη
ἢ ἡ Θέμιδα ἡ εὐγενὴς ἢ ἡ ᾽Αθηνᾶ ἡ γλαυκόφθαλμη
ἢ κάποια ἀπὸ τὶς Χάριτες ἦλθες ἐδῶ, ποὺ τοὺς θεοὺς
ὅλους συναναστρέφονται κι ἀθάνατες καλοῦνται,
ἢ κάποια ἀπὸ τὶς Νύμφες ποὺ στ᾽ ἄλση τὰ ὡραῖα συχνάζουν
ἢ ἀπ᾽ τὶς Νύμφες ποὺ στ᾽ ὄρος τοῦτο τὸ ὡραῖο κατοικοῦνε
καὶ στὶς πηγὲς τῶν ποταμῶν καὶ στὰ χλοερὰ λιβάδια.
Γιὰ σένα ἐγὼ σὲ χῶρο στοῦ ὄρους τὴν κορφὴ περίβλεπτο
βωμὸ θὰ στήσω, καὶ πλούσιες θὰ σοῦ τελῶ θυσίες
ὅλες τὶς ὧρες· καὶ σὺ καλόγνωμη ἔχοντας διάθεση
δῶσε στοὺς Τρῶες ἀνάμεσα ἔξοχος νά ᾽μαι ἄντρας,
κι ὕστερα δῶσ᾽ μου γόνο θαλερό, κι ἐμὲ τὸν ἴδιο κάνε
χρόνια πολλὰ καλὰ νὰ ζήσω καὶ τὸ φῶς τοῦ ἥλιου ν᾽ ἀτενίζω
εὐτυχισμένος μέσ᾽ τὸ πλῆθος καὶ στὸ κατώφλι νὰ ἀφιχθῶ
τῶν γηρατιῶν.

Τοῦ ἀπάντησε ἔπειτα τοῦ Δία ἡ κόρη ἡ ᾽Αφροδίτη:
᾽Αγχίση, πιὸ ἔνδοξε ἀπ᾽ τοὺς θνητοὺς ἀνθρώπους ὅλους,
θεὸς κανεὶς δὲν εἶμαι βέβαια· μὲ ἀθάνατες γιατί μὲ παρομοιάζεις;
῾Ολόθνητη στ᾽ ἀλήθεια εἶμαι, καὶ μιὰ θνητὴ μὲ γέννησε μητέρα.



[Εικ. 65]
Χρυσα
Κοσμηματα:
Περιδεραιο
και Ενωτια
(῾Εγκωμη,
13ος αἰ. π.Χ. *KM*)

Ὄτρεύς δ' ἐστὶ πατὴρ ὄνομα κλυτός, εἴ που ἀκούεις,
ὃς πάσης Φρυγίης εὐτειχήτοιο ἀνάσσει.
γλῶσσαν δ' ὑμετέρην καὶ ἡμετέρην σάφα οἶδα·
Τρωιὰς γὰρ μεγάρωι με τροφὸς τρέφεν, ἡ δὲ διὰ προὸ
σμικρὴν παῖδ' ἀτίταλλε φίλης παρὰ μητρὸς ἑλοῦσα.
ὣς δή τοι γλῶσσάν γε καὶ ὑμετέρην εὖ οἶδα.
νῦν δέ μ' ἀνήρπαξε χρυσόρραπις Ἀργεϊφόντης
ἐκ χοροῦ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς.
πολλαὶ δὲ νύμφαι καὶ παρθένοι ἀλφεσίβοιαι
παίζομεν, ἀμφὶ δ' ὅμιλος ἀπείριτος ἐστεφάνωτο·
ἔνθεν μ' ἥρπαξε χρυσόρραπις Ἀργεϊφόντης,
πολλὰ δ' ἔπ' ἤγαγεν ἔργα καταθνητῶν ἀνθρώπων,
πολλὴν δ' ἄκληρόν τε καὶ ἄκτιτον, ἣν διὰ θῆρες
ὠμοφάγοι φοιτῶσι κατὰ σκιόεντας ἐναύλους,
οὐδὲ ποσὶ ψαύειν ἐδόκουν φυσιζόου αἴης.
Ἀγχίσεω δέ με φάσκε παραὶ λέχεσιν καλέεσθαι
κουριδίην ἄλοχον, σοὶ δ' ἀγλαὰ τέκνα τεκεῖσθαι.
αὐτὰρ ἐπεὶ δὴ δεῖξε καὶ ἔφρασεν ἦ τοι ὅ γ' αὖτις
ἀθανάτων μετὰ φῦλ' ἀπέβη κρατὺς Ἀργεϊφόντης·
αὐτὰρ ἐγώ σ' ἱκόμην, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι ἠδὲ τοκήων
ἐσθλῶν· οὐ μὲν γάρ κε κακοὶ τοιόνδε τέκοιεν·
ἀδμήτην μ' ἀγαγὼν καὶ ἀπειρήτην φιλότητος
πατρί τε σῶι δεῖξον καὶ μητέρι κεδνὰ ἰδυίηι
σοῖς τε κασιγνήτοις, οἵ τοι ὁμόθεν γεγάασιν·
οὔ σφιν ἀεικελίη νυὸς ἔσσομαι, ἀλλ' εἰκυῖα.
πέμψαι δ' ἄγγελον ὦκα μετὰ Φρύγας αἰολοπώλους
εἰπεῖν πατρί τ' ἐμῶι καὶ μητέρι κηδομένηι περ·

113 *τε* ante *καὶ* add. Wolf, it. Càss. We. (fort. recte) 114 *Τρωὰς* M: *τρωὸς fxp* 116 *γε* Hermann: *τε* codd. 117 *ἀνήρπαξε* E T 118 *χρυσηλακάτου* M*f*: *χρυσηλάτου a* L *p* 122 *ἔπ'* (All. Hu.) seu *ἐπ'* (Càss. We.) *ἤγαγεν* edd., post Barnes: *ἐπήγαγεν* codd. 123 vv.ll. *ἄκτιστον* et *ἄτικτον* 125 *ψαύειν fxp* (def. Smith): *ψαύσειν* M (it. All. Càss., post Ruhnken) ‖ *φυσιζόου* L: *φυσιζώου* M*fap* 132 *οὐ μὲν γάρ κε* M, edd.: *οὐ γάρ τε fxp*; *οὐ γάρ τοί γε* Stephanus 134 *ἰδυίηι* scr. All. Càss. (*κεδνὰ ἰδ.*): *εἰδυ(ί)η(ι)* M*fx* (*κέδν' εἰδυίηι* Hu., [*κεδν' εἰδ.*] We.; fort. recte: vid. St. West ad a 428 s.v. *κεδνὰ ἰδυῖα* [*COd* I 126 / A′ 277] et M. L. West ad Hes. *Theog.* 264 s.v. *ἔργ' εἰδυῖαι*); *εἰδείη(ι) p* 135 *δοιώ τε κασιγνήτω* M 136 *νυὸς fx* Chalc. (prob. Barnes, it. All. Càss. We.); *νηὸς* M: *γυνὴ p* (it. Hu.) ‖ *ἠὲ καὶ οὐκί* (pro *ἀλλ' εἰκυῖα*) *p* 136a *εἴ τοι* (*τι f*) *ἀεικελίη γυνὴ ἔσσομαι ἠὲ καὶ οὐκί* add. M*fχ* (post v. 138 transp. van der Ben)

Κι ὁ ᾽Οτρέας εἶναι ὁ πατέρας μου στ᾽ ὄνομα ξακουστός, ἂν ἀκουστὰ
τὸν ἔχεις,
ποὺ τῆς Φρυγίας ὅλης τῆς καλοτειχισμένης βασιλεύει.
Τὴ γλώσσα τὴ δικιά σας σὰν τὴ δικιά μου τέλεια τὴν κατέχω·
γιατὶ τροφὸς Τρωαδίτισσα στ᾽ ἀνάκτορα μ᾽ ἀνάθρεψε, κι ἐξ
ὁλοκλήρου αὐτὴ
ἀπὸ μικρὸ παιδὶ μ᾽ ἀνάστησε ἀπ᾽ τὴ γλυκειὰ τὴ μάνα ἀφοῦ μὲ πῆρε.
῞Ετσι λοιπὸν καὶ τὴ δικιά σας φυσικὰ τὴ γλώσσα τέλεια κατέχω.
Καὶ τώρα ὁ ᾽Αργειφόντης ὁ χρυσόρραβδος μὲ ἀνάρπαξε
ἀπ᾽ τὸν χορὸ τῆς χρυσοδόξαρης ῞Αρτεμης τῆς βροντόλαλης.
Νύμφες πολλὲς καὶ πολυζήτητες παρθένες
παίζαμε, κι ἀτέλειωτος μᾶς περικύκλωνε ὅμιλος·
ἀπὸ ἐκεῖ μὲ ἅρπαξε ὁ ᾽Αργειφόντης ὁ χρυσόρραβδος,
κι ἀπὸ πολλὰ μὲ πέρασε χωράφια τῶν θνητῶν ἀνθρώπων,
κι ἀπὸ πολλῶν ἀκλήρωτη καὶ χέρσα γῆ, ποὺ θηρία ἀπ᾽ ἄκρου
σ᾽ ἄκρο
ὠμοφάγα περνοδιαβαίνουνε σὲ σκιερὰ φαράγγια,
κι οὔτε ποὺ νόμιζα πὼς μὲ τὰ πόδια ἄγγιζα τὴ ζωοδότρα γῆ.
Στοῦ ᾽Αγχίση τὸ κρεββάτι ἔλεγε πὼς θὰ καλοῦμαι
νόμιμη γυναίκα καὶ πὼς λαμπρὰ τέκνα θὰ σοῦ γεννήσω.
᾽Αφοῦ λοιπὸν τὸν δρόμο μοῦ ᾽δειξε καὶ δήλωσε τὸν τόπο, αὐτὸς σὰν
ἦταν φυσικὸ καὶ πάλι
γιὰ τῶν ἀθάνατων τὸ γένος τράβηξε ὁ κραταιὸς ὁ ᾽Αργειφόντης·
κι ἐγὼ σὲ σένα ἔφτασα, κι ἀνίκητη ἡ ἀνάγκη ἦταν.
᾽Αλλὰ στοῦ Δία τὸ ὄνομα γονατιστὴ καὶ τῶν γονιῶν σου σὲ ἱκετεύω
τῶν λαμπρῶν· γιατὶ τέτοιον κακοὶ δὲν θὰ γεννοῦσαν·
παρθένα ἀφοῦ μὲ πάρεις κι ἄπειρη στὸν ἔρωτα
δεῖξε με στὸν πατέρα σου καὶ στὴ μητέρα ποὺ λαμπρὰ κατέχει ἔργα
καὶ στὰ δικά σου ἀδέλφια, ποὺ ἀπ᾽ τὴν ἴδια κρατᾶνε φύτρα·
δὲν θά ᾽μαι νύφη ἀνάρμοστη γι᾽ αὐτούς, μὰ καθωσπρέπει.
Καὶ στεῖλε γρήγορ᾽ ἄγγελο στοὺς Φρύγες μὲ τοὺς ἵππους
τοὺς ταχύποδες νὰ τὸ μηνύσουν
στὸν πατέρα μου καὶ στὴ μητέρα ποὺ ἔγνοιες τὴν κρατοῦνε·






[Εικ. 66]
Χορος Γυναικων
πέριξ προσώπου μὲ αὐλό,
Γεωμετρικῆς περιόδου /
[δεξιά:] Γυναικα με Λυρα
᾽Αρχαϊκῆς περιόδου,
ἀπὸ τὴ *Λάπηθον*
(*AAC* 90 καὶ 115)

οἱ δέ κέ ⟨τοι⟩ χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντὴν
πέμψουσιν, σὺ δὲ πολλὰ καὶ ἀγλαὰ δέχθαι ἄποινα.
ταῦτα δὲ ποιήσας δαίνυ γάμον ἱμερόεντα
τίμιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν.
Ὡς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷι,
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Εἰ μὲν θνητή τ' ἐσσί, γυνὴ δέ σε γείνατο μήτηρ,
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὄνομα κλυτός, ὡς ἀγορεύεις,
ἀθανάτοιο δ' ἔκητι διακτόρου ἐνθάδ' ἱκάνεις
Ἑρμέω, ἐμὴ δ' ἄλοχος κεκλήσεαι ἤματα πάντα·
οὔ τις ἔπειτα θεῶν οὔτε θνητῶν ἀνθρώπων
ἐνθάδε με σχήσει πρὶν σῆι φιλότητι μιγῆναι
αὐτίκα νῦν, οὐδ' εἴ κεν ἑκηβόλος αὐτὸς Ἀπόλλων
τόξου ἀπ' ἀργυρέου προϊῆι βέλεα στονόεντα.
βουλοίμην κεν ἔπειτα, γύναι εἰκυῖα θεῆισι,
σῆς εὐνῆς ἐπιβὰς δῦναι δόμον Ἄϊδος εἴσω.
Ὡς εἰπὼν λάβε χεῖρα· φιλομμειδὴς δ' Ἀφροδίτη
ἕρπε μεταστρεφθεῖσα κατ' ὄμματα καλὰ βαλοῦσα
ἐς λέχος εὔστρωτον, ὅθι περ πάρος ἔσκεν ἄνακτι
χλαίνῃσιν μαλακῆις ἐστρωμένον· αὐτὰρ ὕπερθεν
ἄρκτων δέρματ' ἔκειτο βαρυφθόγγων τε λεόντων,
τοὺς αὐτὸς κατέπεφνεν ἐν οὔρεσιν ὑψηλοῖσιν.
οἱ δ' ἐπεὶ οὖν λεχέων εὐποιήτων ἐπέβησαν,
κόσμον μέν οἱ πρῶτον ἀπὸ χροὸς εἷλε φαεινόν,
πόρπας τε γναμπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους·
λῦσε δέ οἱ ζώνην ἰδὲ εἵματα σιγαλόεντα
ἕκδυε καὶ κατέθηκεν ἐπὶ θρόνου ἀργυροήλου
Ἀγχίσης· ὅ δ' ἔπειτα θεῶν ἰότητι καὶ αἴσῃι
ἀθανάτῃι παρέλεκτο θεᾶι βροτός, οὐ σάφα εἰδώς.
Ἧμος δ' ἂψ εἰς αὖλιν ἀποκλίνουσι νομῆες
βοῦς τε καὶ ἴφια μῆλα νομῶν ἐξ ἀνθεμοέντων,
τῆμος ἄρ' Ἀγχίσῃι μὲν ἐπὶ γλυκὺν ὕπνον ἔχευεν
νήδυμον, αὐτὴ δὲ χροΐ ἕννυτο εἵματα καλά.

139 *οὐδέ p* ‖ *κε χρυσόν τε* M (*τοι* add. Matthiae): *τε χρυσόν κεν fxp* 144 *ἔρος fx*M$^{p.c.}$: *ἔρως p*M$^{a.c.}$ 146 *ὄνομα κλυτὸς* codd. praeter M 147 *ἀθανάτοιο δ' ἔκητι* codd. praeter M, it. Càss.: *ἀθανάτου δ' ἕκατι* M; *ἀθανάτου δὲ ἔκητι* Hermann, it. All. Hu. We. (fort. recte) 152 *προϊῆι* Gemoll, it. All. Hu. Càss. We.: *προίῃ* seu *προίοι* (*προοιοι*) codd. 154 *δοῦναι* (pro *δῦναι*) *a* 155 *φιλομειδής* codd. nonnulli 158 vv.ll. *δίνῃσι* (pro *χλ.*) et *μαλακῆισι*(*ν*) 159 *ἐκ τῶν* (pro *ἄρκτων*) M 164 *ἠδ'* M 169 *ἀνθεμούντων p* 170 *ἔχευεν* (it. Càss. We.) seu *ἔχευε* (it. All. Hu.) codd.

κι αὐτοὶ χρυσάφι βέβαια σωρὸ καὶ ροῦχα ὑφαντὰ
θὰ στείλουν, κι ἐσὺ πολλὰ κι ὁλόλαμπρα θὰ πάρεις λύτρα.
Κι αὐτὰ σὰν κάμεις πρόσφερε συμπόσιο γιὰ γάμο ποθητὸ
πολύτιμο σ' ἀνθρώπους καὶ στοὺς ἀθάνατους θεούς.
Ἔτσι ἀφοῦ μίλησε ἡ θεὰ πόθο γλυκὸ τοῦ 'βαλε στὴν καρδιά,
καὶ τὸν Ἀγχίση ὁ ἔρωτας κυρίευσε καὶ προσφωνώντας την τῆς εἶπε:
Ἐὰν στ' ἀλήθεια εἶσαι θνητή, καὶ μιὰ θνητὴ σὲ γέννησε μητέρα,
κι ὁ Ὀτρέας εἶν' ὁ πατέρας σου στ' ὄνομα ξακουστός, ὅπως τὰ λές,
καὶ μὲ τοῦ ἀθάνατου τὸ θέλημα ὁδηγοῦ ἐδῶθε φτάνεις
τοῦ Ἑρμῆ, δική μου σύζυγος θὰ λέγεσαι γιὰ πάντα·
κανένας ἔπειτα ἀπ' τοὺς θεοὺς καὶ τοὺς θνητοὺς ἀνθρώπους
δὲν θὰ μὲ συγκρατήσει ἐδῶ πρὶν σ' ἔρωτα μὲ σένανε νὰ σμίξω
ἀμέσως τώρα, οὔτε κι ἂν ὁ ἴδιος ὁ εὔστοχος ἀπὸ μακρυὰ Ἀπόλλων
ἀπ' τὸ ἀργυρό του τόξο ἐξακόντιζε τὰ ἐπώδυνά του βέλη.
Καὶ θά 'θελα ἔπειτα, μὲ τὶς θεὲς γυναίκα ὅμοια, στὴν κλίνη
τὴ δική σου ἀφοῦ ἀνεβῶ στὰ δώματα τοῦ Ἅδη μέσα νά 'μπω.
Ἔτσι ἀφοῦ μίλησε τὴν πῆρε ἀπὸ τὸ χέρι· καὶ ἡ φιλόγελη
Ἀφροδίτη
τραβοῦσε γυρνώντας πίσω ἀφοῦ χαμήλωσε τὰ ὄμορφά της μάτια
στὴν κλίνη τὴν καλόστρωτη, ποὺ γιὰ τὸν βασιλιὰ πρὶν ἦταν
μὲ χλαῖνες μαλακὲς στρωμένη· ἐκεῖ ἀποπάνω
δέρματ' ἀρκούδων κείτονταν καὶ λιονταριῶν βαρύφωνων
ποὺ μόνος του τὰ σκότωσε στὰ ὄρη τὰ ψηλά.
Κι ὅταν αὐτοὶ λοιπὸν στὴν κλίνη τὴν καλόστρωτη πλαγιάσαν,
τ' ἀστραφτερὰ πρῶτα κοσμήματα τῆς ἔβγαλε ἀπ' τὸ σῶμα,
τὶς πόρπες καὶ τὰ στριφτὰ λαμπρὰ σκουλαρίκια καὶ τοὺς ρόδακες
καὶ τὰ περιδέραια·
τῆς ἔλυσε τὴ ζώνη καὶ τ' ἁπαλόφωτα τὰ ροῦχα της
τῆς ἔβγαλε καὶ σὲ θρονὶ τ' ἀπόθεσε ἀσημοκαρφωμένο
ὁ Ἀγχίσης· κι ἔτσι αὐτὸς μὲ θέλημα θεῶν καὶ μοίρα
μ' ἀθάνατη ἐπλάγιασε θεὰ θνητός, ἐπίγνωση μὴ ἔχοντας.
Κι ὅταν καὶ πάλι οἱ βοσκοὶ γυρίζανε στὴ στάνη
τὰ βόδια καὶ τὰ παχιὰ τ' ἀρνιὰ ἀπ' τὰ ἀνθισμένα βοσκοτόπια,
τότε λοιπὸν ὕπνο γλυκὸ σκόρπιζε στὸν Ἀγχίση
βαθὺ κι αὐτὴ στὸ σῶμα φόραγε τὰ ὄμορφά της ροῦχα.



[Εικ. 67]
Ελικες
(σπεῖρες [spirals],
4ος αἰ. π.Χ. *ΑπΑC* 389)

ἐσσαμένη δ' εὖ πάντα περὶ χροΐ δῖα θεάων
ἕστη ἄρα κλισίηι, εὐποιήτοιο μελάθρου
κῦρε κάρη, κάλλος δὲ παρειάων ἀπέλαμπεν
ἄμβροτον, οἷόν τ' ἐστὶν ἐϋστεφάνου Κυθερείης.
ἐξ ὕπνου τ' ἀνέγειρεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"Ὄρσεο, Δαρδανίδη· τί νυ νήγρετον ὕπνον ἰαύεις;
καὶ φράσαι εἴ τοι ὁμοίη ἐγὼν ἰνδάλλομαι εἶναι
οἵην δή με τὸ πρῶτον ἐν ὀφθαλμοῖσι νόησας.
Ὣς φάθ'· ὁ δ' ἐξ ὕπνοιο μάλ' ἐμμαπέως ὑπάκουσεν.
ὡς δὲ ἴδεν δειρήν τε καὶ ὄμματα κάλ' Ἀφροδίτης
τάρβησέν τε καὶ ὄσσε παρακλιδὸν ἔτραπεν ἄλλη·
ἂψ δ' αὖτις χλαίνηις ἐκαλύψατο καλὰ πρόσωπα
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Αὐτίκα σ' ὡς τὰ πρῶτα, θεά, ἴδον ὀφθαλμοῖσιν,
ἔγνων ὡς θεὸς ἦσθα· σὺ δ' οὐ νημερτὲς ἔειπες.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι αἰγιόχοιο,
μή με ζῶντ' ἀμενηνὸν ἐν ἀνθρώποισιν ἐάσηις
ναίειν, ἀλλ' ἐλέαιρ'· ἐπεὶ οὐ βιοθάλμιος ἀνὴρ
γίγνεται ὅς τε θεαῖς εὐνάζεται ἀθανάτηισιν.
Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε καταθνητῶν ἀνθρώπων,
θάρσει, μηδέ τι σῆισι μετὰ φρεσὶ δείδιθι λίην·
οὐ γάρ τοί τι δέος παθέειν κακὸν ἐξ ἐμέθεν γε
οὐδ' ἄλλων μακάρων, ἐπεὶ ἦ φίλος ἐσσὶ θεοῖσι.
σοὶ δ' ἔσται φίλος υἱὸς ὃς ἐν Τρώεσσιν ἀνάξει
καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται·
τῶι δὲ καὶ Αἰνείας ὄνομ' ἔσσεται οὕνεκά μ' αἰνὸν
ἔσχεν ἄχος ἕνεκα βροτοῦ ἀνέρος ἔμπεσον εὐνῆι·
ἀγχίθεοι δὲ μάλιστα καταθνητῶν ἀνθρώπων
αἰεὶ ἀφ' ὑμετέρης γενεῆς εἶδός τε φυήν τε.

173 *πὰρ* (pro *ἄρα*) Stephanus (fort. recte) ‖ *εὐποιήτοιο* codd. (*εὖ ποιητοῖο* M): *κεὐποιήτοιο* Sikes; *εὐποιήτου δὲ* Ruhnken; an *εὐποιήτου τε*? 174 *κῦρε* M, prob. Wolf (it. edd.): *βυρε a*; *ἠυρε bp*; *ἦρε f*, *ἤρε* Chalc.; *η' ρε γ* 175 *ἰοστεφάνου* M (prob. Ruhnken coll. Y2.18 infra) 178 *τι* (pro *τοι*) *fxp* ‖ *αγων* (pro *ἐγών*) M 180 *ἀνόρουσεν* (pro *ὑπάκουσεν*) prop. Köchly (coll. K 162, δ 839 et κ 557) 181 *δ' εἶδε* M 183 *χλαίνηις ἐκαλύψατο* (vel *χλαίνησι καλύψατο*) prop. van der Ben (iteravimus coll. v. 158): *χλαίνηι τε καλύψατο* codd. 189 *βιοφθάλμιος* MNP 190 *ἀθανάτηισιν* seu *-σι* codd. (*-οισιν* γ, *-οισι* Π), edd. 195 *ἐπεὶ ἦ* All., it. cett.: *ἐπειὴ* codd. 197 *ἐκγεγάονται* codd.: *ἐκγεγάοντες* Baumeister, it. We.; *ἐκγεγαῶτες* Ilgen 199 *ὅτε τε* (pro *ἕνεκα*) Gemoll 200 *ἀγχίθεοι* Barnes, edd.: *ἄγχι θεοὶ* codd. 201 *αἰὲν* (pro *αἰεὶ*) prop. Barnes, *εἰσὶν* van der Ben

Κι ἀφοῦ σωστὰ ὅλα φόρεσε στὸ σῶμα ἡ σεβαστὴ θεὰ
στάθηκε ὡς ἦταν φυσικὸ μέσ' στὴ σκηνή, τὴν καλοκαμωμένη ὀροφὴ
ἄγγιξε ἡ κεφαλή της, καὶ κάλλος στὶς παρειές της ἔλαμπε
ἀθάνατο, τέτοιο ποὺ στὴν ὡριοστέφανη Κυθέρεια ταιριάζει.
Κι ἀπὸ τὸν ὕπνο τὸν ἐσήκωσε, καὶ προσφωνώντας τοῦ εἶπε:
Ἐγέρσου, Δαρδανίδη· γιατὶ λοιπὸν ὕπνο βαθὺ κοιμᾶσαι;
Καὶ πές μου ἂν ὅμοια ἐγὼ σοῦ φαίνομαι νὰ εἶμαι
τέτοια ποὺ ἐμὲ τὴν πρώτη τὴ φορὰ μπροστὰ στὰ μάτια σου εἶδες.
Ἔτσι εἶπε· καὶ ἐκεῖνος ἀπ' τὸν ὕπνο του ὑπάκουσε ἀμέσως.
Μὰ ὡς εἶδε τὸν λαιμὸ καὶ τὰ ὄμορφα τῆς Ἀφροδίτης μάτια
τρόμαξε καὶ τὰ μάτια του ἔστρεψε ἀλλοῦ.
Κι ἀμέσως πάλι μὲ χλαῖνες κάλυψε τ' ὄμορφο πρόσωπό του
κι αὐτὴν ἐκλιπαρώντας λόγια τῆς εἶπε φτερωτά:
Ἀμέσως ὡς στὰ μάτια μου, θεά, σὲ πρωτοεῖδα,
θεὰ πὼς εἶσαι τό 'νοιωσα· μὰ σὺ δὲν μοῦ 'πες τὴν ἀλήθεια.
Ἀλλὰ στοῦ Δία τ' ὄνομα γονατιστὸς σὲ ἱκετεύω τοῦ ἀσπιδοφόρου,
ἂν εἶν' νὰ ζήσω, ἀδύναμο μέσ' στοὺς ἀνθρώπους μὴ μ' ἀφήσεις
νὰ κατοικῶ, ἀλλὰ ἔλεος δεῖξε· γιατὶ ὁ ἄντρας θαλερόβιος
μετὰ δὲν εἶναι ὅποιος μὲ ἀθάνατες θεὲς ξαπλώνει.
Τοῦ ἀπάντησε ἔπειτα τοῦ Δία ἡ κόρη ἡ Ἀφροδίτη:
Ἀγχίση, πιὸ ἔνδοξε ἀπ' τοὺς θνητοὺς ἀνθρώπους ὅλους,
θάρρεψε, καὶ στὴν ψυχή σου μέσα μὴν πολυφοβᾶσαι·
γιατὶ φόβος κανεὶς κακὸ νὰ πάθεις ἀπὸ μένα δὲν ὑπάρχει
οὔτ' ἀπ' τοὺς ἄλλους τοὺς μακάριους, γιατὶ στ' ἀλήθεια φίλος εἶσαι
στοὺς θεούς.
Σὲ σένα γιὸς ἀγαπητὸς θὰ γεννηθεῖ ποὺ ἀνάμεσα στοὺς Τρῶες θὰ
βασιλέψει
καὶ τῶν παιδιῶν παιδιὰ συνέχεια θὰ γεννιοῦνται·
σ' αὐτὸν Αἰνείας θά 'ναι τ' ὄνομα, γιατὶ ἐμὲ «αἰνὸς» καὶ φοβερὸς
βρῆκε καημὸς ποὺ σ' ἄντρα θνητοῦ τὴν κλίνη ξάπλωσα·
κι ἰσόθεοι σχεδὸν πάνω ἀπ' ὅλους τοὺς θνητοὺς ἀνθρώπους θά 'ναι
ἀπ' τὴ δική σας πάντοτε γενιὰ στὴν ὁμορφιὰ καὶ στὸ παράστημα.



[Εικ. 68]
Ερως Κοιμωμενος
(Μαρμάρινο ἀγαλμάτιο
Ρωμαϊκῆς περιόδου
ἀπὸ τὴν *Πάφον. ΚΜ*)

ἤτοι μὲν ξανθὸν Γανυμήδεα μητίετα Ζεὺς
ἥρπασε⟨ν⟩, ὃν διὰ κάλλος, ἵν' ἀθανάτοισι μετείη
καί τε Διὸς κατὰ δῶμα θεοῖς ἐπιοινοχοεύοι,
θαῦμα ἰδεῖν, πάντεσσι τετιμένος ἀθανάτοισι,
χρυσέου ἐκ κρητῆρος ἀφύσσων νέκταρ ἐρυθρόν.
Τρῶα δὲ πένθος ἄλαστον ἔχε φρένας, οὐδέ τι ἤιδει
ὅππηι οἱ φίλον υἱὸν ἀνήρπασε θέσπις ἄελλα·
τὸν δὴ ἔπειτα γόασκε διαμπερὲς ἤματα πάντα.
καί μιν Ζεὺς ἐλέησε, δίδου δέ οἱ υἷος ἄποινα
ἵππους ἀρσίποδας, τοί τ' ἀθανάτους φορέουσι·
τούς οἱ δῶρον ἔδωκεν ἔχειν· εἶπεν δὲ ἕκαστα
Ζηνὸς ἐφημοσύνηισι διάκτορος Ἀργεϊφόντης,
ὡς ἔοι ἀθάνατος καὶ ἀγήραος ἶσα θεοῖσιν.
αὐτὰρ ἐπεὶ δὴ Ζηνὸς ὅ γ' ἔκλυεν ἀγγελιάων,
οὐκέτ' ἔπειτα γόασκε, γεγήθει δὲ φρένας ἔνδον,
γηθόσυνος δ' ἵπποισιν ἀελλοπόδεσσιν ὀχεῖτο.
ὣς δ' αὖ Τιθωνὸν χρυσόθρονος ἥρπασεν Ἠὼς
ὑμετέρης γενεῆς ἐπιείκελον ἀθανάτοισι.
βῆ δ' ἴμεν αἰτήσουσα κελαινεφέα Κρονίωνα
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα·
τῆι δὲ Ζεὺς ἐπένευσε καὶ ἐκρήηνεν ἐέλδωρ.
νηπίη, οὐδ' ἐνόησε μετὰ φρεσὶ πότνια Ἠὼς
ἤβην αἰτῆσαι ξῦσαί τ' ἄπο γῆρας ὀλοιόν.
τὸν δ' ἤτοι εἶως μὲν ἔχεν πολυήρατος ἥβη,
Ἠοῖ τερπόμενος χρυσοθρόνωι ἠριγενείηι
ναῖε παρ' Ὠκεανοῖο ῥοῆις ἐπὶ πείρασι γαίης·
αὐτὰρ ἐπεὶ πρῶται πολιαὶ κατέχυντο ἔθειραι
καλῆς ἐκ κεφαλῆς εὐηγενέος τε γενείου,
τοῦ δ' ἤτοι εὐνῆς μὲν ἀπείχετο πότνια Ἠώς,

202 *ἤτοι* codd., Càss. We.: *ἦ τοι* All. Hu. (fort. recte; cf. infra vv. 225, 230, 237) 203 *ἥρπασε⟨ν⟩, ὃν* scripsimus; *ἥρπασεν ὃν* Hermann, *ἥρπασε ὃν* (fort. recte) Matthiae: *ἥρπασ' ἐὸν fp*, *ἥρπασ' ἑὸν x*, *ἥρπασ' αἰνὸν* M 204 *ἔπι οἰνοχοεύειν* (*ἐπιοιν-* M) van Eck 205 *τετιμένον* M (def. van der Ben) 206 *κρητῆρος* M: *κρατ- fxp* ‖ *ἀφύσσειν* M (def. van der Ben) 207 *τρῶς a* 208 *ὅπη fxp*, *ὅποι* M 212 *δὲ* Wolf: *τε* codd. 214 *ἀγήραος f*, Ilgen (coll. Θ 539, ubi "*ἀγήραος* vulg." adnot. Monro – Allen) et Càss. (coll. Hom. hymn. II.260); dubit. iteravimus (coll. ε 136 al. et 2 F1.10 supra): *ἀγήρως* M*xp*, it. All. Hu. We. ‖ *ἴσα θεοῖσιν* M, Ruhnken (it. edd.); *ἴσα θεοῖσι ab* $^{mg.}$: *ἤματα πάντα f bp* (fort. recte, cf. 2 F1.10 supra) 218 *χρυσόθρονον p* 224 *ἄπο γῆρας* Hermann, edd.: *ἀπὸ γῆρας* seu *ἀπογῆρας* codd. 225 *δ' ἤτοι* (Hermann, Càss. We.): *δ' ἦ τοι* (All. Hu.) vel *δή τοι* codd. 229 *εὐηγενέος* M, Wolf (it. edd.): *εὐγεν- fxp* 230 *δ' ἤτοι* Hermann (it. Càss. We.; *δ' ἦ τοι* All. Hu.): *δή τοι* codd.

Στ' ἀλήθεια βέβαια τὸν ξανθὸ τὸν Γανυμήδη ὁ συνετὸς ὁ Δίας
ἅρπαξε γιὰ τὸ κάλλος του μὲ τοὺς ἀθάνατους μαζὶ γιὰ νά 'ναι
καὶ στὸ ἀνάκτορο τοῦ Δία στοὺς θεοὺς κρασὶ γιὰ νὰ κερνάει,
θαῦμα νὰ τόνε βλέπεις, ἀπὸ τοὺς ἀθανάτους ὅλους τιμημένος,
ἀπὸ χρυσὸ κρατῆρα ἀντλώντας νέκταρ κόκκινο.
Τὸν Τρῶα πένθος ἄπαυστο κατεῖχε στὴν ψυχή, κι οὔτε ποὺ τό 'ξερε
ποὺ τὸν ἀγαπητό του γιὸ τοῦ ἀνάρπαξε θύελλα θεϊκή·
κι ἔτσι ὅπως ἦταν φυσικὸ τὸν θρήναγε μέρα τὴ μέρα.
Κι αὐτὸν ὁ Δίας σπλαχνίστηκε καὶ τοῦ 'δωσε τοῦ γιοῦ του λύτρα
ἵππους γρηγοροπόδαρους ποὺ κουβαλοῦν τοὺς ἀθανάτους·
αὐτοὺς δῶρο τοῦ 'δωσε νὰ ἔχει· καὶ τὰ καθέκαστα εἶπε
μὲ ἐντολὲς τοῦ Δία ὁ ἀγγελιαφόρος ὁ 'Αργειφόντης,
ἀθάνατος πὼς ἦταν καὶ ἀγέραστος σὰν τοὺς θεούς.
Καὶ σὰν τοῦ Δία βέβαια ἄκουγε αὐτὸς τὶς ἀγγελίες,
ἄλλο πιὰ δὲν θρηνοῦσε φυσικά, μὰ μέσα του ὁλόψυχα χαιρόταν,
καὶ τοὺς γρηγοροπόδαρους χαρούμενος καβάλλαγε τοὺς ἵππους.
Ἔτσι τὸν Τιθωνὸ ἡ χρυσοστόλιστη ἅρπαξε πάλι Αὐγή,
ἀπ' τὴ δική σας τὴ γενιὰ μὲ τοὺς θεοὺς τοὺς ἀθανάτους ὅμοιο.
Καὶ τράβηξε καὶ πῆγε ἀπὸ τὸν μελανονεφῆ τὸν γιὸ τοῦ Κρόνου
νὰ ζητήσει
ἀθάνατος νὰ εἶναι καὶ στὸν αἰώνα τὸν ἅπαντα νὰ ζεῖ·
κι ὁ Δίας συγκατένευσε σ' αὐτὴ καὶ τῆς ἐκπλήρωσε τὸν πόθο.
Ἡ ἄμυαλη, οὔτε στὸν νοῦ της μέσα σκέφτηκε ἡ σεβαστὴ Ἠὼς
τὴ νιότη νὰ ζητήσει καὶ τὰ ὀλέθρια ἀπὸ πάνω του νὰ ξύσει γηρατιά.
Κι αὐτὸν ὅσο λοιπὸν ἡ πολυέραστη ἡ νιότη τὸν κατεῖχε,
μὲ τὴν Ἠὼ διασκεδάζοντας τὴ χρυσοστόλιστη τὴν πρωινογεννημένη
στοῦ Ὠκεανοῦ τὰ ρεῖθρα κατοικοῦσε στὰ πέρατα τῆς γῆς·
μὰ σὰν οἱ πρῶτες οἱ λευκὲς καταβλαστῆσαν τρίχες
στ' ὄμορφο τὸ κεφάλι του στ' ἀρχοντικό του γένι,
ἀπὸ τὴν κλίνη του, ἑπόμενο ὡς ἦταν, ἀπεῖχε ἡ σεβαστὴ Ἠώς,




[Εικ. 69]
Τεθρίππο – Αθηνα
(*Σόλοι* [Μερσινάκι],
5ος αἰ. π.Χ.
ΕΘΗΡΑΚ 67)

αὐτὸν δ' αὖτ' ἀτίταλλεν ἐνὶ μεγάροισιν ἔχουσα
σίτωι τ' ἀμβροσίηι τε καὶ εἵματα καλὰ διδοῦσα.
ἀλλ' ὅτε δὴ πάμπαν στυγερὸν κατὰ γῆρας ἔπειγεν
οὐδέ τι κινῆσαι μελέων δύνατ' οὐδ' ἀναεῖραι,
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
ἐν θαλάμωι κατέθηκε, θύρας δ' ἐπέθηκε φαεινάς.
τοῦ δ' ἤτοι φωνὴ ῥεῖ ἄσπετος, οὐδέ τι κῖκυς
ἔσθ' οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐκ ἂν ἐγώ γε σὲ τοῖον ἐν ἀθανάτοισιν ἑλοίμην,
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα.
ἀλλ' εἰ μὲν τοιοῦτος ἐὼν εἶδός τε δέμας τε
ζώοις, ἠμέτερός τε πόσις κεκλημένος εἴης,
οὐκ ἂν ἔπειτά μ' ἄχος πυκινὰς φρένας ἀμφικαλύπτοι.
νῦν δέ σε μὲν τάχα γῆρας ὁμοίιον ἀμφικαλύψει
νηλειές, τό τ' ἔπειτα παρίσταται ἀνθρώποισιν,
οὐλόμενον καματηρόν, ὅ τε στυγέουσι θεοί περ.
αὐτὰρ ἐμοὶ μέγ' ὄνειδος ἐν ἀθανάτοισι θεοῖσιν
ἔσσεται ἤματα πάντα διαμπερὲς εἵνεκα σεῖο,
οἳ πρὶν ἐμοὺς ὀάρους καὶ μήτιας, αἷς ποτε πάντας
ἀθανάτους συνέμιξα καταθνητῆισι γυναιξί,
τάρβεσκον· πάντας γὰρ ἐμὸν δάμνασκε νόημα.
νῦν δὲ δὴ οὐκέτι μοι στόμα χείσεται ἐξονομῆναι
τοῦτο μετ' ἀθανάτοισιν, ἐπεὶ μάλα πολλὸν ἀάσθην
σχέτλιον οὐκ ὀνοταστόν, ἀπεπλάγχθην δὲ νόοιο,
παῖδα δ' ὑπὸ ζώνηι ἐθέμην βροτῶι εὐνηθεῖσα.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδηι φάος ἠελίοιο,
Νύμφαι μιν θρέψουσιν ὀρεσκῶιοι βαθύκολποι,
αἳ τόδε ναιετάουσιν ὄρος μέγα τε ζάθεόν τε·
αἵ ῥ' οὔτε θνητοῖς οὔτ' ἀθανάτοισιν ἔπονται·
δηρὸν μὲν ζώουσι καὶ ἄμβροτον εἶδαρ ἔδουσι

237 *δ' ἤτοι* Hermann (it. Càss. We.; *δ' ἦ τοι* All. Hu.): *δή τοι* M*x* (Chalc.); *δή τι f*; *δ' οὔ τοι* (*οὔτι*) *p* ‖ *οὐδέ τι* codd.: *οὐδ' ἔτι* Boissonade et Sandys (it. Càss., fort. recte) ‖ *κῖκυς* Abel: *κίκυς* codd. 241 *τοιοῦτος fxp*: *τοῖος* M ("ex τοιόσδε ut vidit Hermann coll. Il. III 46" adnot. Càss.) 244 *τάχα* (it. All. Hu. We.) seu *κατὰ* (it. Càss., adnotans "praetulit Breuning coll. XVIII 8, Od. XI 497, XIV 349") codd. 247 *ἐν* M (Chalc.): *μετ' fxp* 250 *συνέμιξα* M*fbp*, edd. (*-μει-* We.): *συνέμιξας a* ‖ *κατὰ θνητοῖσιν* M (*καταθνητοῖσι* scr. Càss.) 251 *δάμνασκε* M*fx*: *δάμνακε p* 252 *στόμα χείσεται* Martin, it. All. Hu. We.: *στοναχήσεται* codd.; *στόμα τλήσεται* Matthiae, it. Càss. (def. Smith); *στόμα χήσεται* vel *στόμ' ἀχήσεται* Buttmann; alii alia 254 *ὀνοταστόν* Clarke, it. All.: *ὀνομαστόν* Martin, it. Hu. Càss. We. (def. Smith): *ὀνότατον* codd. 255 *ζώνηι fxp*: *ζώνην* M 256 *ἐπεὶ* (pro *ἐπὴν*) M ‖ *ἤδη* (pro *ἴδηι*) *a*

μ' αὐτὸν καὶ πάλι φρόντιζε στὰ μέγαρα ἔχοντάς τον
μ' ἄρτο καὶ μ' ἀμβροσία κι ὄμορφα ροῦχα δίνοντάς του.
Ἀλλ' ὅταν πιὰ ὁλότελα τὰ στυγερὰ τὰ γηρατιὰ τὸν καταπιέζαν
οὔτε κανένα νὰ κινήσει ἀπὸ τὰ μέλη του μποροῦσε ἢ νὰ σηκώσει,
αὐτὴ σ' ἐκείνην ἡ ἄριστη στὸν νοῦ φαινόταν σκέψη:
μέσ' στὸν κοιτώνα τὸν ἀπόθεσε, καὶ ἔκλεισε τὶς θύρες τὶς λαμπρές.
Κι αὐτοῦ ἄπαυστη ἡ φωνὴ στ' ἀλήθεια ρέει, καὶ δύναμη καμμιὰ
δὲν ἐνυπάρχει σὰν κι αὐτὴ ποὺ πρὶν στὰ εὐκίνητά του μέλη εἶχε.
Τέτοιον ἐγὼ τουλάχιστον μέσ' τοὺς ἀθάνατους δὲν θὰ σὲ διάλεγα
ἀθάνατος νὰ εἶσαι καὶ στὸν αἰῶνα τὸν ἅπαντα νὰ ζεῖς.
Ἂν ὅμως τέτοιος ὄντας στὴν ὀμορφιὰ καὶ στὸ παράστημα
θὰ ζοῦσες, κι ἄντρας δικός μου θὰ λεγόσουν,
τότε καημὸς τὰ συνετὰ μυαλά μου δὲν θὰ περικάλυπτε.
Τώρα ὅμως γρήγορα γῆρας πάγκοινο θὰ σὲ περικαλύψει
ἀνελέητο, ποὺ τοὺς κοντοζυγώνει τοὺς ἀνθρώπους,
ὀλέθριο, δυσβάσταχτο, ποὺ κι οἱ θεοὶ βεβαίως τὸ μισοῦν.
Γιὰ μὲ ἐπιπρόσθετα ντροπὴ μεγάλη μέσ' τοὺς ἀθάνατους θεοὺς
παντοτινὰ θὰ ὑπάρχει ἀκατάπαυστα ἐξαιτίας σου,
ποὺ πρὶν τὰ ἐρωτόλογα καὶ τὰ τεχνάσματά μου, μὲ τὰ ὁποῖα ὅλους
κάποτε τοὺς ἀθανάτους ἔσμιξα μ' ὁλόθνητες γυναῖκες,
ἀντίκρυζαν μὲ δέος· γιατὶ ὅλους τὰ δικά μου σχέδια δαμάζαν.
Μὰ τώρα πιὰ τὸ στόμα μου δὲν θ' ἀνοιχτεῖ νὰ ὀνοματίσει
τοῦτο μέσ' στοὺς ἀθάνατους, γιατὶ πάρα πολὺ τυφλώθηκα
ἐλεεινὰ κι ἀκαταφρόνητα, κι ἀποπλανήθηκα στὸν νοῦ,
καὶ στὴν κοιλιὰ παιδὶ ἔπιασα μ' ἕνα θνητὸ πλαγιάζοντας.
Αὐτὸν σὰν πρῶτα δεῖ τὸ φῶς τοῦ ἥλιου,
Νύμφες θὰ τόνε θρέψουν ὀρεσίβιες μεγαλόστηθες,
ποὺ τοῦτο ἐδῶ τὸ ὄρος κατοικοῦν τὸ ὑψηλὸ καὶ τὸ πανάγιο·
αὐτὲς οὔτε στὴν τάξη τῶν θνητῶν ὑπάγονται οὔτε στῶν ἀθανάτων·
μακρόχρονη ζωὴ ἔχουνε καὶ ἀθάνατη τροφὴ αὐτὲς τρῶνε,



[Εικ. 70] Νυμφη
(Ὕλας καὶ Νύμφη,
τοιχογραφία Ρωμαϊκῆς περιόδου
στὰ λουτρὰ τοῦ *Γυμνασίου* τῆς
Σαλαμῖνος [λεπτομέρεια].
ΕΘΗρΑΚ 201)

καί τε μετ' ἀθανάτοισι καλὸν χορὸν ἐρρώσαντο.
τῆισι δὲ Σειληνοί τε καὶ ἐΰσκοπος Ἀργεϊφόντης
μίσγοντ' ἐν φιλότητι μυχῶι σπείων ἐροέντων.
τῆισι δ' ἅμ' ἢ ἐλάται ἠὲ δρύες ὑψικάρηνοι
γεινομένηισιν ἔφυσαν ἐπὶ χθονὶ βωτιανείρηι
καλαὶ τηλεθάουσαι ἐν οὔρεσιν ὑψηλοῖσιν.
ἑστᾶσ' ἠλίβατοι, τεμένη δέ ἑ κικλήσκουσιν
ἀθανάτων· τὰς δ' οὔ τι βροτοὶ κείρουσι σιδήρωι.
ἀλλ' ὅτε κεν δὴ μοῖρα παρεστήκηι θανάτοιο,
ἀζάνεται μὲν πρῶτον ἐπὶ χθονὶ δένδρεα καλά,
φλοιὸς δ' ἀμφιπεριφθινύθει, πίπτουσι δ' ἄπ' ὄζοι,
τῶν δέ θ' ὁμοῦ ψυχὴ λείπει φάος ἠελίοιο.
αἱ μὲν ἐμὸν θρέψουσι παρὰ σφίσιν υἱὸν ἔχουσαι.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἕλῃ πολυήρατος ἥβη,
ἄξουσίν σοι δεῦρο θεαί, δείξουσί τε παῖδα·
σοὶ δ' ἐγώ, ὄφρα ⟨κε⟩ ταῦτα μετὰ φρεσὶ πάντα διέλθω,
ἐς πέμπτον ἔτος αὖτις ἐλεύσομαι υἱὸν ἄγουσα.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδῃς θάλος ὀφθαλμοῖσι,
γηθήσεις ὁρόων· μάλα γὰρ θεοείκελος ἔσται·
ἄξεις δ' αὐτίκα νιν ποτὶ Ἴλιον ἠνεμόεσσαν.
ἢν δέ τις εἴρηταί σε καταθνητῶν ἀνθρώπων,
ἦ τις σοὶ φίλον υἱὸν ὑπὸ ζώνηι θέτο μήτηρ,
τῶι δὲ σὺ μυθεῖσθαι μεμνημένος ὥς σε κελεύω·
φασίν τοι νύμφης καλυκώπιδος ἔκγονον εἶναι,
αἳ τόδε ναιετάουσιν ὄρος καταειμένον ὕλῃ.
εἰ δέ κεν ἐξείπῃς καὶ ἐπεύξεαι ἄφρονι θυμῶι
ἐν φιλότητι μιγῆναι ἐϋστεφάνωι Κυθερείῃ,
Ζεύς σε χολωσάμενος βαλέει ψολόεντι κεραυνῶι.
εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῆισι νοήσας

261 *ἀθανάτοις* Ilgen 262 *σειλ- p*, it. Hermann edd. (*Σ-*); *σελ- α*: *σιλ-* M*fb* fort. recte) ‖ *καὶ* (pro *τε καὶ*) Hermann, it. Càss. ‖ *ἐΰσκοπος Ἀργεϊφόντης* dubit. scripsimus (vid. infra ad loc.) 265 *βωτιανείρηι fbp*: *βοτ-* M*a* 266 *ἐν οὔρεσι δ'* L 269 *παρεστήκηι* Stephanus: *παρεστήκοι* (fort. recte) vel *-ει* codd. 271 *ἄπ' ὄζοι* T$^{p.c.}$ (Hermann, edd.): *ἀπ' ὄζοι fbx*; *ἄπο ὄζοι a*; *ἄποζοι* M 272 *δέ θ'* Hermann, it. Hu. Càss. We. (prob. Smith et van der Ben): *δέ χ'* codd., it. All. ‖ *λείπει* codd.: *λείποι* All. Halliday 274 post 279, 275 post 277 transp. van der Ben; 274-5 del. Matthiae (prob. Hu. Càss. Smith); 276-7 del. Hermann 275 *τοι* M, Hermann (it. Hu. Càss. We.): *σοι fxp* (it. All.) 276 *κε* add. Barnes ‖ *ὄφρα τοι αὖ τὰ* Kamerbeek (it. Càss.), *ὄφρ' ἐμά γ' αὖ τὰ* prop. van der Ben 280 *ἄξεις p* ‖ *νιν fxp*, it. All. Hu. (cf. infra 4 F7.18 [v. 12] *ὄφρα φύγοι νιν*): *νῦν* M; *μιν* Hermann, it. Càss. We. 283 *τῶι δὲ* Q, Hermann (it. edd.): *τῶδέ* M; *τῶδε fxp* (praeter Q) ‖ *σὺ fxp*: *σοι* M 284 *φάσθαι* Matthiae (prob. Smith, fort. recte) ‖ *ἔκγονον* Barnes: *ἔγγονον* codd.

καὶ μὲ τοὺς ἀθανάτους ὄμορφο στήνουν χορό·
μ' αὐτὲς κι οἱ Σειληνοὶ κι ὁ ἄγρυπνος ὁ 'Αργειφόντης
σμίγουν τρυφερὰ στὰ μύχια σπηλιῶν ἐρωτικῶν.
Μαζὶ μ' αὐτὲς ἢ ἐλατιὲς ἢ δρύες ὑψηλόκορμες
ὅταν γεννήθηκαν φυτρῶσαν στὴ γῆ τὴν ἀνδροθρέφτρα
ὡραῖες καὶ θαλερὲς στὰ ὑψηλὰ τὰ ὄρη.
Στέκουν ἀπόκρημνες, καὶ τὶς καλοῦν τεμένη
τῶν ἀθανάτων· κι οὔτ' οἱ θνητοὶ τὶς κόβουν μ' ἐργαλεῖα σιδερένια.
'Αλλ' ὅταν πιὰ ἡ μοίρα φτάσει τοῦ θανάτου,
πρῶτα ξεραίνονται στὴ γῆ τὰ δέντρα τὰ ὡραῖα,
καὶ γυροτρώγεται ὁ φλοιὸς καὶ τὰ κλωνιὰ ἀπὸ πάνω πέφτουν,
κι αὐτῶν μαζὶ ἡ ψυχὴ τὸ φῶς ἀφήνει τοῦ ἥλιου.
Αὐτὲς λοιπὸν κοντά τους τὸν δικό μου γιὸ ἔχοντας θὰ θρέψουν.
Αὐτὸν σὰν πιάσει ἡ πρώτη ἡ πολυέραστη ἡ ἥβη,
θὰ σοῦ τὸν φέρουν οἱ θεὲς ἐδῶ, καὶ θὰ στὸν δείξουνε παιδί·
σὲ σένα ἐγώ, γιὰ νὰ τελειώσω ὅλα ὅσα στὸν νοῦ μου μέσα
συλλογίζομαι,
στὸν πέμπτο χρόνο πάλι θά 'ρθω τὸν γιὸ ὁδηγώντας.
Κι ὅταν αὐτὸν στὰ μάτια τὸν βλαστὸ πρωταντικρύσεις,
κοιτάζοντάς τον θὰ χαρεῖς· γιατὶ μὲ τοὺς θεοὺς πολὺ θὰ μοιάζει·
κι αὐτὸν ἀμέσως θὰ ὁδηγήσεις στὴν Τροία τὴν ἀνεμόδαρτη.
Κι ἂν κάποιος τὴν ἐρώτηση σοῦ κάνει ἀπ' τοὺς θνητοὺς ἀνθρώπους,
ποιά τέλος πάντων μάνα σοῦ ἐγκυμόνησε τὸν προσφιλῆ σου γιό,
σ' αὐτὸν ἐσὺ νὰ θυμηθεῖς νὰ πεῖς ὡς σὲ προστάζω:
Λὲν ὄντως πὼς μιᾶς Νύμφης ροδοπρόσωπης γιὸς εἶναι
ποὺ ἐτοῦτο ἐδῶ τὸ ὄρος κατοικοῦν τὸ πυκνοδασωμένο.
Ἂν ὅμως πεῖς τὸ μυστικὸ καὶ καυχηθεῖς μὲ νοῦ ἄφρονα
ἐρωτικὰ πὼς ἔσμιξες μὲ τὴν ὡριοστεφάνωτη Κυθέρεια,
ὁ Δίας χολωμένος μὲ κεραυνὸ θὰ σὲ χτυπήσει ὠχρόμαυρο.
Σοῦ 'χουν λεχθεῖ τὰ πάντα· κι ἐσὺ στὸν νοῦ σου βάζοντάς τα



[Εικ. 71]
Ζευς Κεραυνιος / Σ(ε)ιληνος
(*Κίτιον*, περίπου 500 π.Χ. *KM*
[ἀριστερά] / ἀρύβαλλος
μὲ τὴ μορφὴ Σ(ε)ιληνοῦ,
σὲ τερρακόττα ἀπὸ τὸ Κίτιο.
Cesnola *Salaminia* 267 Fig. 257)

ἴσχεο μηδ' ὀνόμαινε, θεῶν δ' ἐποπίζεο μῆνιν.
Ὣς εἰποῦσ' ἠΐξε πρὸς οὐρανὸν ἠνεμόεντα.
Χαῖρε θεὰ Κύπροιο ἐϋκτιμένης μεδέουσα·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

290 *ὀνόμαινε* Hermann: *ὀνόμηνε* codd. (def. Smith; sed vid. van der Ben)
291 *ἠνεμόεντα* codd., def. Valckenaer (it. edd.): *ἀστερόεντα* Ruhnken Abel
292 *ἐϋκτισμένης a* 293 *ἐς ἄλλον ὕμνον f.*

Y2 (VI). *Εἰς Ἀφροδίτην*

Αἰδοίην χρυσοστέφανον καλὴν Ἀφροδίτην
ἄισομαι, ἣ πάσης Κύπρου κρήδεμνα λέλογχεν
εἰναλίης, ὅθι μιν Ζεφύρου μένος ὑγρὸν ἀέντος
ἤνεικεν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἀφρῷ ἔνι μαλακῷ· τὴν δὲ χρυσάμπυκες ϝΩραι
δέξαντ' ἀσπασίως, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν,
κρατὶ δ' ἐπ' ἀθανάτῳ στεφάνην εὔτυκτον ἔθηκαν
καλὴν χρυσείην, ἐν δὲ τρητοῖσι λοβοῖσιν
ἄνθεμ' ὀρειχάλκου χρυσοῦό τε τιμήεντος,
δειρῆι δ' ἀμφ' ἁπαλῆι καὶ στήθεσιν ἀργυφέοισιν
ὅρμοισι χρυσέοισιν ἐκόσμεον οἷσί περ αὐταὶ
ϝΩραι κοσμείσθην χρυσάμπυκες, ὁππότ' ἴοιεν
ἐς χορὸν ἱμερόεντα θεῶν καὶ δώματα πατρός.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ κόσμον ἔθηκαν
ἦγον ἐς ἀθανάτους· οἱ δ' ἠσπάζοντο ἰδόντες
χερσί τ' ἐδεξιόωντο καὶ ἠρήσαντο ἕκαστος
εἶναι κουριδίην ἄλοχον καὶ οἶκαδ' ἄγεσθαι,
εἶδος θαυμάζοντες ἰοστεφάνου Κυθερείης.
Χαῖρ' ἑλικοβλέφαρε γλυκυμείλιχε, δὸς δ' ἐν ἀγῶνι
νίκην τῶιδε φέρεσθαι, ἐμὴν δ' ἔντυνον ἀοιδήν.
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Titulus: *εἰς ἀφροδίτην a*V; *τοῦ αὐτοῦ* (sc. *Ὁμήρου*) *εἰς τὴν αὐτὴν ἀφροδίτην* M; *ἕτερος ὕμνος εἰς τὴν αὐτήν* At: *εἰς τὴν αὐτὴν* D*bp* (praeter V)
2 *ἀίσομαι* M 4 *ἤνεικε*(*ν*) *fxp*: *ἤνυκε* M 5 *ἔνι* Ilgen, edd.: *ἐνὶ* codd. 7 *ἔπ'* Franke: *ἐπ'* codd. (it. All.) ‖ *εὔτυκτον* M*p*: *εὔτικτον fx* 12 *κοσμείσθην p*: *κοσμίσθην fx*; *κοσμήσθην* M ‖ *ὁππότ' ἴοιεν* M 15 *ἰδέσθαι* M 16 v.l. *τε δεξιόωντο* 18 *ἐϋστεφάνου* (*εὐ-*) *p* ("ss. *ἰο* p^{2}" adnotat Càss.) 19 *ἀγῶνι* M*fap*: *ἀγγῶον* (*ἀγῶνι*?) *b* (vid. Hu.).

κρατήσου καὶ μὴ μ' ὀνοματίζεις, μὰ τὴν ὀργὴ φοβοῦ τῶν θεῶν.
Ἔτσι ἀφοῦ μίλησε στὸν οὐρανὸ τὸν ἀνεμοδαρμένο πέταξε.
Χαῖρε θεά, ποὺ τὴν Κύπρο τὴν καλοκτισμένη γνοιάζεσαι·
ἀπὸ σένα ἐγὼ ἀφοῦ ἄρχισα σ' ἄλλο θὰ προχωρήσω ὕμνο.

[Πβ. τὸν στ. 292 *Χαῖρε θεὰ Κύπροιο ἐϋκτιμένης μεδέουσα* πρὸς τὸ κατωτ. Υ3.4-5 *Χαῖρε θεὰ Σαλαμῖνος ἐϋκτιμένης μεδέουσα | εἰναλίης τε Κύπρου·* βλ. κατωτ. σημ. στὰ χωρία, καὶ Εἰκ. 74 καὶ 123 (γιὰ τὴν ΚΥΠΡΟΜΕΔΟΥΣΑ).]

Υ2 (VI). *Στὴν Ἀφροδίτη*
Τὴ σεβαστὴ χρυσοστέφανη ὄμορφη Ἀφροδίτη
θὰ ὑμνήσω, ποὺ ὅλης τῆς Κύπρου τὰ ὀχυρὰ κυβερνᾶ
τῆς θαλασσόβρεχτης, ὅπου φύσημα ὑγρὸ τοῦ Ζέφυρου
τὴν ἔφερε πάνω ἀπὸ τῆς πολύφλοισβης τῆς θάλασσας τὸ κύμα
σὲ μαλακὸν ἀφρό· κι αὐτὴν οἱ χρυσοστόλιστες οἱ Ὧρες
τὴν καλωσόρισαν περίχαρα, καὶ θεῖα τὴν ἔντυσαν ἐνδύματα,
καὶ στὸ κεφάλι της τ' ἀθάνατο καλοπλεγμένο βάλανε στεφάνι
ὄμορφο ὁλόχρυσο, στὰ τρυπημένα της αὐτιὰ
στολίδια ἀπὸ ὀρείχαλκο κι ἀτίμητο χρυσό,
τὸν τρυφερό της τὸ λαιμὸ καὶ τ' ἀργυρά της στήθια
μ' ὁλόχρυσα κοσμήματα στολίζαν, σὰν κεῖνα ποὺ οἱ ἴδιες
οἱ Ὧρες οἱ ὁλόχρυσες στολίζονταν κάθε φορὰ ποὺ πήγαιναν
σὲ θελκτικὸ θεῶν χορὸ καὶ στοῦ πατέρα τους τ' ἀνάκτορα.
Κι ὅταν λοιπὸν κάθε στολίδι στὸ κορμί της βάλαν
στοὺς ἀθανάτους τὴν ἐφέραν· καὶ τὴν ἀσπάζονταν αὐτοὶ μόλις τὴν εἶδαν,
τῆς δίνανε τὰ χέρια χαιρετώντας την κι εὐχήθηκε ὁ καθένας
γυναίκα νὰ τὴν εἶχε τρυφερὴ καὶ νὰ τὴν ἔπαιρνε στὸ σπίτι,
θαυμάζοντας τὸ κάλλος τῆς ἀνθοστέφανης Κυθέρειας.
Χαῖρε ἑλικοβλέφαρη γλυκομείλιχη, δῶσ' στὸν ἀγώνα
αὐτὸν ἐδῶ τὴ νίκη νὰ κερδίσω, καὶ τὸ τραγούδι μου κάνε ὥριο.
Κι ἐγὼ καὶ σὲ καὶ ἄλλο μου θὰ θυμηθῶ τραγούδι.



[ΕΙΚ. 72]
ΕΝΩΤΙΑ ΧΡΥΣΑ
(*Παλαίπαφος*,
13ος αἰ. π.Χ. *ΚΜ*)

Y3 (X). *Εἰς Ἀφροδίτην*

Κυπρογενῆ Κυθέρειαν ἀείσομαι, ἥ τε βροτοῖσι
μείλιχα δῶρα δίδωσιν, ἐφ' ἱμερτῶι δὲ προσώπωι
αἰεὶ μειδιάει καὶ ἐφ' ἱμερτὸν θέει ἄνθος.
Χαῖρε θεὰ Σαλαμῖνος ἐϋκτιμένης μεδέουσα
εἰναλίης τε Κύπρου· δὸς δ' ἱμερόεσσαν ἀοιδήν.
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Titulus: *εἰς ἀφροδίτην* M*fzx*: *εἰς τὴν Ἀφροδίτην p* 1 *κυπρογενῆ* (edd.), *υπρογενῆ*, *οὐπρογενῆ*, *ευπρογενῆ* codd. 2 *ἐφ' ἱμερτῶι* codd. (it. All. Càss. We.): *ἐφιμερτῶι* Lennep (it. Hu.) 3 *ἐφ' ἱμερτὸν fp* (it. All. Càss. We.); *ἐφ' ἰμερτὸν* M: *ἐφιμερτὸν x*, prob. Gemoll (it. Hu.) ‖ *θέει* M, it. All. We.: *φέρει fzxp*, it. Hu. Càss. (fort. recte) 4 *θεά, Σαλαμῖνος fzxp*, it. edd.: *μάκαιρα κυθήρης* M ‖ *ἐΰκτιμένης* M*fzxp* (fort. *ἐϋ κτιμένης*): *ἐϋκτισμένης a* 5 *εἰναλίης τε* M, it. All. Hu.: *καὶ πάσης fzxp*, it. Càss. We.



[Εικ. 73] Αφροδιτη
(Cesnola *Salaminia* Fig. 159 [σσ. 152-3])

Υ3 (Χ). *Στὴν Ἀφροδίτη*
Τὴν Κυπρογέννητη Κυθέρεια θὰ ὑμνήσω, ποὺ στοὺς θνητοὺς
εὐπρόσδεκτα προσφέρει δῶρα, καὶ μὲ τὸ ποθητό της πρόσωπο
πάντα μειδιᾶ καὶ μὲ λουλούδι ποθητὸ ὁμοιάζει.
Χαῖρε θεά, ποὺ τὴν καλοκτισμένη Σαλαμῖνα γνοιάζεσαι
καὶ τὴν Κύπρο τὴ θαλασσόβρεχτη· δῶσ' μου τραγούδι ποθοτρόφο.
Κι ἐγὼ καὶ σὲ καὶ ἄλλο μου θὰ θυμηθῶ τραγούδι.

[Ἡ χειρόγραφη παράδοση προβληματίζει σὲ καίρια σημεῖα, κυρίως στοὺς στ. 4 καὶ 5. Οἱ παράλληλες γραφὲς *χαῖρε μάκαιρα κυθήρης εὐκτιμένης μεδέουσα* (Μ, στ. 4) *καὶ πάσης κύπρου* (λοιποὶ πλὴν τοῦ Μ κώδικες, στ. 5) φαίνονται μεταγενέστερες καὶ μὴ προτιμητέες· βλ. ἀναλυτικὰ κατωτ. σ.στ., καὶ Εἰκ. 74 καὶ 123 (γιὰ τὴν ΚΥΠΡΟΜΕΔΟΥΣΑ).]



[ΕΙΚ. 74] ΚΥΠΡΟΜΕΔΟΥΣΑ
(κύπελλο ἀπὸ τὸν «Θησαυρὸ τοῦ Κουρίου» πιθανῶς
[Συλλογὴ Cesnola], περὶ τὸ 700 π.Χ. *AnAC* 307)

6. ΚΛΕΩΝ Ο ΚΟΥΡΙΕΥΣ

ΑΡΓΟΝΑΥΤΙΚΑ

F1

Schol. Apollon. Rhod. 1.587

Καί μιν κυδ⟨αίνοντες⟩· τὸν Δόλοπα· ὁ δὲ Δόλοψ Ἑρμοῦ υἱός, ὃς ἐν Μαγνήσσηι τῆι πόλει ἀπώλετο καὶ αὐτόθι τάφον παρὰ τῶι
3 *αἰγιαλῶι ἔσχεν, ὡς Κλέων ἐν α΄ τῶν Ἀργοναυτικῶν.*

[Vid. Schol. Apollon. Rhod. ed. Wendel (p. 51) cum siglis, et Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 339. De Cleone Curiensi vid. supra pp. 148-52.]

F2

Schol. Apollon. Rhod. 1.623-626a

Ἐς Οἰνοίην ἐρύ⟨σαντο⟩· εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου (*FGrH* 478 F 7). *Σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας* (*FGrH* 240 F31)
5 *λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου τοῦ υἱοῦ Θόαντος καὶ νύμφης Οἰνοίης. ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός* (*FGrH* 697 F 5) *δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος.*

[Vid. Schol. Apollon. Rhod. ed. Wendel (pp. 54-5) cum siglis, et Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 339.] 6 *νύμφης Οἰνοίης* L; *νύμφης Οἰνηίδος* Bochart, it. Wendel (fort. recte): *Νηΐδος νύμφης ἐν Οἰνόηι* P (cf. *Etym. Gen.* (A) *νύμφης Οἰνόης Ναΐδος* et Apollon. Rhod. 1.626 *νηιὰς Οἰνοίη νύμφη*).

6. ΚΛΕΩΝ Ο ΚΟΥΡΙΕΥΣ

ΑΡΓΟΝΑΥΤΙΚΑ

F1

Σχόλ. ᾽Απολλών. Ρόδ. 1.587

Καὶ δοξάζοντας αὐτόν: τὸν Δόλοπα· ὁ δὲ Δόλοψ ἦταν υἱὸς τοῦ Ἑρμῆ, ὁ ὁποῖος σκοτώθηκε στὴν πόλη Μάγνησσα καὶ τάφηκε στὸ ἴδιο μέρος κοντὰ στὸν γιαλό, ὅπως (ἱστορεῖ) ὁ Κλέων στὸ πρῶτο βιβλίο τῶν *Ἀργοναυτικῶν*.

[Γιὰ τὸν Κλέωνα τὸν Κουριέα βλ. ἀνωτ. σσ. 148-58.]

F2

Σχόλ. ᾽Απολλών. Ρόδ. 1.623-626a

Στὴν Οἰνόη ἔσυραν: ἔχει πάρει τὴν ἱστορία ἀπὸ τὸν Θεόλυτο. Ἡ δὲ Σίκινος εἶναι ἕνα νησὶ μπροστὰ ἀπὸ τὴν Εὔβοια, ποὺ πρὶν ὀνομαζόταν Οἰνόη, ἐπειδὴ ἦταν ἀμπελόφυτη. Τὴ μετονομασία μνημονεύει ὁ Ξεναγόρας λέγοντας ὅτι μετονομάστηκε ἀπὸ τὸν Σίκινο τὸν γιὸ τοῦ Θόαντα καὶ τῆς νύμφης Οἰνόης. Ὅτι ἐδῶ σώθηκε ὁ Θόας τὸ διηγεῖται καὶ ὁ Κλέων ὁ Κουριεὺς καὶ ὁ ᾽Ασκληπιάδης ὁ Μυρλεανός, δείχνοντας πὼς ἀπὸ τὸν Κλέωνα πῆρε τὰ πάντα ὁ ᾽Απολλώνιος.



[Εικ. 75] Ειδωλιο Πλοιου (*Κερύνεια* [Καζάφανι], Ὕστερη Ἐποχὴ Χαλκοῦ. *KM*)

F3

Schol. Apollon. Rhod. 1.77-78

Κάνθος κίε· τὸν Κάνθον καὶ ὁ Κλέωνα καταλέγει. ἔστι δὲ Κανήθου υἱός, ἀφ' οὗ ⟨τὸ⟩ ὄρος ἐν Βοιωτίαι· ἦν δὲ ⟨οὗτος⟩
3 *Ἄβαντος παῖς, ἀφ' οὗ οἱ Εὐβοεῖς Ἄβαντες.*

[Vid. Schol. Apollon. Rhod. ed. Wendel (pp. 13-14) cum siglis, et Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 339.] 2 *τὸ* add. Fränkel ‖ *Βοιωτίαι* L: *Εὐβοίαι* P ‖ *ἦν δὲ* L: *ὅδ' ἦν* F (fort. recte); aliter P ‖ *οὗτος* add. Wendel.

[ΕΙΚ. 76] ΙΠΠΟΛΥΤΟΣ – ΦΑΙΔΡΑ ΚΑΙ ΕΡΩΣ
(*Πάφος* [«Οἰκία τοῦ Διονύσου»],
ἀρχὲς 3ου αἰ. μ.Χ.)

F4

P. Mich. inv. 1316 verso

[ ] *ἐχόντων αὐτὸν τὸν τῆς ὑποθέ-*
[*σεως*]·· *διὰ τοῦ πρώτου μέχρι τῆς Βεβρυ-*
[*κίας τοὺ*]*ς Ἀργοναύτας* (vacat).
*ἀλλ' ὅ γε Κουρῆτ*ὺ*ς* ΟΥ
[*κατ*]*αβεβλημένος πραγματείαν.*
5 [*εἰς τ*]*ὸ Ἴλιον αὐτοὺς ἀγαγὼν ἀκολού-*
[*θως*] *Διονυσίωι Ἡσιόνην τὴν Λαο-*
[*μέδοντος*] *ἐκκειμένην τῶι κήτει ἰδὼν*
[ ]· *αὐτῆς σὺν Τελαμῶνι βουλευ-*
[ ] *στίχοις διαθέμενος πάντ*[*α*]
10 [ ]· *Ἀπολλώνιον ἐχόμενον ··*
[ ] *καὶ γὰρ σύντομός τις καὶ οὐ* [·]
[ ]*ρα ἐμφαίνων διὰ τῶν πα-*
[*ρεκβάσεων*]·*του Ὁμηρικώτερον ἱστορι-*
[*ἀνα*]*γκαίαν τὴν οἰκονομίαν τι*
15 [ ] *ἐναντίως ἔχει μακροτε-*
[*ρ-*]·*ητ·ς παρεκβὰς ἔς γε ἀ-*
[ ] *συνεχέσι καὶ πολυστίχοις*
[ ] *αὐτοῦ στίχων ἑκατ*[*όν* [·]
[ ]·*σ*·[·]·····[·]*εσθαι κατὰ τὸν*
20 [*μνησ*]*θεὶς Πελίου παρ····· ἐπὶ*
[*τὸν προ*]*κείμενον διεξέρχεται μῦ-*

F3

Σχόλ. ᾽Απολλών. Ρόδ. 1.77-78

῾Ο Κάνθος βάδιζε: Τὸν Κάνθο καὶ ὁ Κλέων συγκαταλέγει. Εἶναι δὲ (αὐτὸς) γιὸς τοῦ Κάνηθου, ἀπὸ τὸν ὁποῖο (πῆρε τὸ ὄνομά του) τὸ (ὁμώνυμο) ὄρος στὴ Βοιωτία· ἦταν δὲ αὐτὸς γιὸς τοῦ ῾Αβαντα, ἀπὸ τὸν ὁποῖο (ὀνομάστηκαν) οἱ Εὐβοεῖς ῾Αβαντες.



F4

P. Mich. inv. 1316 verso

[ ] ποὺ ἔχουν τὸν ἴδιο τὸν τῆς ὑποθέ-
[σεως] μὲ τὸ πρῶτο (βιβλίο;) ὡς τὴ Βεβρυκία
[ ] (παίρνει τοὺς) ᾽Αργοναῦτες (…).
᾽Αλλὰ ὁ Κουρι ε ὺ ς βέβαια (…)
[ ] ἀφοῦ δημιούργησε πραγματεία (…)
[στ]ὸ ῾Ίλιον ὁδηγώντας αὐτούς, σύμφωνα μὲ
[ ] στὸν Διονύσιο, τὴν ῾Ησιόνη τὴν κόρη τοῦ Λαο-
[μέδοντος] ἐκτεθειμένη στὸ κῆτος, ὅταν εἶδε (…)
[ ] αὐτῆς μαζὶ μὲ τὸν Τελαμώνα (…)
[ ] σὲ στίχους, ἀφοῦ οἰκονόμησε τὰ πάντα (…)
[ ] τὸν ᾽Απολλώνιο (ποὺ τὸν) ἀκολουθεῖ (…)
[ ] καὶ πραγματικὰ κάπως σύντομος(-η) καὶ ὄχι
[ ] (…) τονίζοντας μὲ τὶς παρεκβάσεις
[ ] (…) ῾Ομηρικώτερο(-α) ἱστορί-
[ἀνα]γκαία τὴν οἰκονομία κάπως (…)
[ ] ἀντίθετα ἔχει μακρότε-
[ρ-] ἀφοῦ κάνει παρέκβαση μέχρι τουλάχιστον (…)
[ ] μὲ (σὲ) συνεχεῖς (-ῆ) καὶ πολύστιχους (-α) (…)
[ ] αὐτοῦ ἑκατὸ στίχων (…)
[ ] (…) κατὰ τὸν (στὸν) (…)
[ ] ἀφοῦ ἀνέφερε τὸν Πελία (…)
[τὸν προ]κείμενο μύθο διεξέρχεται (…)

[θον]·· ει τὴν Ἀθηνᾶν ἀλη·τε
[φ]ησιν Ἀφροδείτην Αἰήτηι
[ ]ς Μηδείας μνηστῆρας αὐ-
[ ]·υς οἰκτισάμενος αὖθις παρ-
[τὴν] θεὸν ἐχθρῶς διακειμέ̣νην
[ἀ]κολάστους πεποιηκέναι
[ ]υ ἐπὶ τῆι Ἄρεως μοιχείαι
[Πασιφά]ην καὶ Φαίδραν, ἔτι δὲ Ἀρι-
[άδνην α]ὐτὰ̣ς ἀπαραίτητον ἐπιθυ-
[μ- στρ]α̣τηλασίας ὥστε δοκεῖν
[ ]·ς δ' ἐνμέτρους καταχω-
[ ]·ατον Ἀπολλώνιον πολ[ ]
[ ]·ημάτων ἀποδεκτέο[ν]
[ ]·· τ̣ὰ ποιήματα ἕτεροι
[ ]·α̣ τὸ ὀλί̣γα̣ εὐφυῶς ἔχειν
[ ] α̣ὐτὸν πρὸς τὴν ἀνάγνω-
[σιν ἐν τῶι τρ]ί̣τωι πρὸς Καλλισθένην
[γεγ]ραμμένων βιβλίων [···]·

[Vid. Rusten *Dion. Scyt.* pp. 58 sqq. et Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 339A; de vv. 1-9 vid. etiam D'Alessio *ArgCC* pp. 110 sqq., qui multa et varia temptavit supplementa.] 1-2 *ὑποθέ*|[*σεως* Rusten ‖ *Βεβρυ*[*κίας* Parsons; *Βεβρυ*|[*κίας* (vel *Βεβρυ*|-[*κων χώρας*) D'Alessio: *βεβρ̣·* [ ] Rusten 3 *Κουρι̣ε̣ὺς ρ̣ ·* [ ] Parsons; *Κουρι̣ε̣ὺς οὗ*|[*κ ἐστι* (dubit. et *οὐ*|[*κ ὀλιγόστιχον* aut *οὐ* |[*πάνυ συντόμως*) tempt. D'Alessio ‖ *τοὺ*]*ς* suppl. D'Alessio 4 *κατ*]*α̣βεβλημένος* Rusten 5 *εἰς τ*]*ὸ̣* Rusten, it. D'Alessio 5-6 *ἀκολού*-|[*θως* dubit. prop. Rusten (scr. *ἀκολου*|[*θ-*); *ἀκολού*|[*θως* vel *ἀκολου*-|[*θήσας* aut *-ήσαντος* tempt. D'Alessio 6 *Διονυσίωι* Rusten, et D'Alessio 6-7 *Λα̣ρ*|[*μέδοντος* Rusten, et D'Alessio 7 *ἐποίησε, θυγατέρα, Ἡρακλῆς* aut *Ἡρακλῆ* (vel *αὐτοὺς*), *ἐξέσωσεν* post *-μέδοντος* tempt. D'Alessio ‖ *ἐ̣κ̣κ̣ειμένην* (quam *πρ*]*ο̣κ̣ειμένην*) et *ἰδ̣ὼν* (quam *ἰδόν-*) maluit Koenen (coll. Apollod. 2.104); *ἐ̣κ̣κ̣ειμένην* vel *προ*]*ε̣κ̣κ̣ειμένην*, *ἰδ̣ών* vel *ἰδόν*|[*τα*(*ς*) D'Alessio 8]· *α̣ὐτῆ̣ς* dubit. scripsimus;]· *α̣υτης* Rusten, et D'Alessio ‖ *βουλε̣υ-* Rusten, et D'Alessio (fort. *βουλε̣υ*|[*ομένης* vel [*σαμένης*) 9 *στί-χοις* Rusten ‖ *πάντ̣*[*α* dubit. scripsimus; *πάντα̣* dubit. prop. Rusten (scr. *παντ··*; *παντ̣·* D'Alessio 10 *Ἀπολλώνιον* (sc. *τὸν Ῥόδιον,* et infra v. 33) Rusten 11 *καὶ οὐ* 〉 Rusten 12-13 *πα*[*ρεκβάσεων* dubit. prop. Rusten 14 *ἀνα*]*γκαίαν* Rusten 15 *ἐ̣ναντίως* Rusten 15-16 *μακροτε*|[*ρ-* (fort. *μακροτέ*|[*ραν*) Rusten 16 *ἔς γε ἀ*[- e.g. prop. Rusten: *ἔστε ἃ*[*ν* Koenen 17 *σ̣υνεχέσι* Rusten 18 *σ*]*τ̣ίχων ἑκατ̣ὸ̣ν* ? Rusten 20 *μνησ*]*θεὶς* et *παρε̣κ̣-βα̣ὰ̣ς* dubit. prop. Rusten 21-22 *τὸν προ*]*κείμενον* et *μῦ*[*θον* e.g. prop. Rusten; dubit. iteravimus 22]··*ει* Rusten: *π*]*ρ̣ιεῖ* Koenen, fort. recte (dubit. prob. [adnot.] Rusten) ‖ *ἀλη·τε* legit Livrea (*Stud. Hell.* I 292, teste Ll.-J., *Suppl. Suppl. Hell.* fr. 339A): *ἀ̣γ̣ατε·* Rusten 23 *φ*]*ησιν* Rusten 26 *τὴν*]

[ ] κάνει τὴν Ἀθηνᾶ (…)
[ ] ἰσχυρίζεται ὅτι ἡ Ἀφροδίτη (μὲ) τὸν Αἰήτη
[ ] [σ]τοὺς μνηστῆρες τῆς Μήδειας αὐ-
[ ] (…) ἀφοῦ λυπήθηκε πάλι παρ-
[τὴν] θεὰ ποὺ ἦταν διατεθειμένη ἐχθρικὰ
[ ] εἶχε κάνει ἀκόλαστες
[τὶς ἀπογόνους τοῦ Ἡλί]ου γιὰ τὴ μοιχεία τοῦ Ἄρη
[---- τὴν Πασιφά]η καὶ τὴ Φαίδρα, καὶ ἀκόμα τὴν Ἀρι-
[άδνη α]ὐτὲς ἀκατανίκητη ἐπιθυ-
[μία νὰ ἔχουν (…) ἐκ]στρατεία (-εῖες), ὥστε νὰ φαίνεται (-ονται)
[ ] καὶ ἔμμετρους ἀφοῦ καταχώρισε (…)
[ ] (…) τὸν Ἀπολλώνιο / ὅτι ὁ Ἀπολλώνιος (…)
[ ] (…) πρέπει νὰ ἀποδεχθοῦμε (…)
[ ] (…) τὰ ποιήματα ἄλλοι (…)
[ ] γιατὶ λίγα μέρη εἶναι καλογραμμένα
[ ] αὐτὸν (ὅτι αὐτὸς) πρὸς τὴν ἀνάγνω-
[ση στὸ τρ]ίτο πρὸς τὸν (ἐναντίον τοῦ) Καλλισθένη
[ ] γραμμένων βιβλίων (…).

[Τὸ παπυρικὸ αὐτὸ ἀπόσπασμα εἶναι ἀκρωτηριασμένο στὸ ἀριστερὸ μέρος καὶ παρεφθαρμένο σὲ ἄλλα σημεῖα, σὲ τέτοιον βαθμὸ ποὺ ἡ ἐπαρκὴς συμπλήρωση τοῦ κειμένου φαίνεται ἀδύνατη. Χάριν μεταφράσεως ἔχουν γίνει ἐπιλεκτικὰ δεκτὲς ὁρισμένες συμπληρώσεις καὶ διορθώσεις, προτεινόμενες ἀπὸ τοὺς Rusten, Parsons, Koenen, D'Alessio (στὴν ἀξιόλογη πρόσφατη ἐργασία του γιὰ τὰ *Ἀργοναυτικὰ* τοῦ *Κλέωνος τοῦ Κουριέως*, μὲ ἐντυπωσιακὴ προσπάθεια ἀνασύνθεσης τῶν στ. 1-9 κατὰ ὀκτὼ διαφορετικοὺς τρόπους: ὑποθέτοντας πὼς στὸ ἀκρωτηριασμένο ἀριστερὸ μέρος λείπουν 15-16 γράμματα [A-D], 18-19 γράμματα [E-F], 24 γράμματα [G-H], δείχνοντας ἔτσι καὶ τὸ ἀδύνατο βέβαιης συμπλήρωσης). Κυρίως ἔχει γίνει δεκτὴ ἡ ἀνάγνωση τοῦ Parsons *Κουριεὺς* στὸν στ. 3, ὅπου φαίνεται νὰ γίνεται ἀναφορὰ στὸν Κλέωνα τὸν Κουριέα καὶ τὰ *Ἀργοναυτικά* του, τὰ ὁποῖα φαίνεται νὰ χρησιμοποιοῦνται ἀπὸ τὸν συντάκτη τῆς προκειμένης –πιθανῶς– πραγματείας γιὰ τὴν ἱστορία τῶν *Ἀργοναυτικῶν* ὡς μέσο σύγκρισης μὲ τὸ ἔργο κάποιου πολὺ γνωστοῦ συγγραφέα, τοῦ Ἀπολλωνίου τοῦ Ροδίου ἐκ πρώτης ὄψεως ἢ ἐνδεχομένως τοῦ Καλλιμάχου ἢ τοῦ Ἀντιμάχου (βλ. καὶ κατωτ. σημ. στὸ ἀπόσπ. καὶ ἀνωτ. 148 κἑ., μὲ σημ. 114 κἑ.). Στοὺς στ. 24-30 ὁ συγγραφέας ἀναφέρεται στὴ γνωστὴ συνήθεια τῆς Ἀφροδίτης νὰ ἐκδικεῖται ὅσους τὴ θίγουν ἐμβάλλοντας ἄμετρα πάθη στὶς θυγατέρες τους· πβ. Στησίχ. ἀπόσπ. 46 (233) Page (…) *Τυνδάρεος* (…) *λάθετ' ἠπιοδώρου Κύπριδος· κείνα δὲ Τυνδαρέου κόραις χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι καὶ λιπεσάνορας* καὶ Σχόλ. Εὐρ. *Ἱππόλ.* 47 (…) *πάσαις ταῖς ἀφ' Ἡλίου γενομέναις ἐμήνιεν Ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτῆς ὑφ' Ἡλίου μοιχείαν. τὴν γοῦν Πασιφάην οὐ μόνον τοῦ ταύρου ἀλλὰ καὶ τοῦ Μίνωος ἐρασθῆναί φασιν, ὡς ἱστορεῖ Σωσικράτης. εἰκότως δὲ ἡ Ἀφροδίτη τὴν παρ' ἀμφοῖν εἰσπράττεται τιμωρίαν, παρὰ μὲν Φαίδρας, ὅτι ἀφ' Ἡλίου* (…), κ.ἄ. πολλά (βλ. καὶ κατωτ. σημ. σ.στ.).]

θεὸν Rusten ‖ *διακεμέ̣γ̣ηγ* Rusten 27-28 *ἀ*]*κολάστους* et *πάσας τὰς ἀφ' Ἡλίο*]*υ* e.g. suppl. Rusten 29 *Πασιφά*]*ην* Kassel: "et *Κίρκ*]*ην* possis" Livrea 29-30 *Ἄρι*|[*άδνην* Rusten 30-31 *Ἀφροδίτη ἠνάγκασεν α*]*ὐ̣τ̣ὰ̣ς* (sc. *Φαίδραν καὶ ἄλλας*) *ἀπαραίτητον ἐπιθυ*|[*μίαν ἔχειν* e.g. prop. Rusten (scr. *ἐπιθυ*|[*μ-*) 31 *στρ*]*ατηλασίας* Rusten 34]*μημάτων* vel *σ*]*χημάτων* dubit. prop. Koenen (]·*ημάτων* scr. Rusten) ‖ *ἀποδεκτέο*[*ν*] Rusten 36 *δ*]*μ̣ὰ̣* ante *τὸ ὀλί̣γ̣α̣* dubit. prop. Rusten: *κα*]*τ̣ὰ̣* Koenen 37 *αὐτὸν* Rusten 37-38 *ἀνάγνω*|[*σιν* Rusten 38; *ἐν τῶι τρ*]*ί̣τωι* Parsons: *ἐ*]*ν̣ τῶι* dubit. prop. Rusten.

F5

(ΕΛΕΓΕΙΑ)

Etym. Magn. s.v. *εὐβύριον*

Εὐβύριον· τὸ εὔοικον, ὥς φησιν Εὐφορίων (fr. 92 Meineke, 128 Powell, 129 Groningen)*· Ἄστυ κατ' εὐβύριον. εἴρηται δὲ ὅτι κατὰ τὴν βαυρίαν, ἢ κατὰ Μεσσαπίους σημαίνει τὴν οἰκίαν· ὥς φησι Κλέων ὁ ἐλεγοποιός,*

(v. 1) *Τοῦτο μὲν οὖν ῥ̓έξαντες ἀολλέες ἠγερέθοντο*
βαυριόθεν βριαροὶ Γοργοφόνου νέποδες.

κατ' ἔλλειψιν οὖν τοῦ ᾱ τὸ βαύριον βύριον καὶ ἐν συνθέσει εὐβύριον.

[Vid. *Etym. Magn.* ed. Gaisford, cum siglis; vid. etiam Meineke *Anal. Alex.* fr. 93, et Lloyd-Jones – Parsons, *Suppl. Hell.* fr. 340.] 1, 2, 8 *εὐβύριον* BE: *εὐβοίριον Etym. Gen.* (B; contulit K. Alpers, teste Ll.-J. – P.).] 1 *ὥς φησιν* om. V 2 *δὲ* om. V 2-3 *ὅτι κατὰ* codd.: *παρὰ* dubit. prop. Meineke (fort. recte), it. Powell Groningen ‖ "Sylburg. tentabat, *εἴρηται δὲ ὅτι βαύριον ἢ βύριον κατὰ Μεσσ.* Equidem malim, *εἴρηται δὲ παρὰ τὴν βαυρίαν, ἢ* (…). Fortasse cognata fuere *βυρίον* sive *βαυρίον* et *βᾶρις* (…)" adnotat Meineke; "Fortasse legendum, *εἴρηται, ὅτι βαύριον ἢ βύριον, κατὰ Μεσσαπίους σημαίνει τὴν οἰκίαν* (…)" adnotat Gaisford 3 *ἢ* BE: *ἢ* V 3-4 *τὴν οἰκίαν·* (…) edd. (*τὴν οἰκίαν.* Ll.-J. – P.; *ὁ ἐλεγοποιός* Meineke) ‖ *ὥς φησι* om. V, et Ll.-J. – P. 4 *ὁ ἐλεγοποιός* (Meineke Groningen Ll.-J. – P.) vel *ὁ ἐλεγειοποιός* (Gaisford Bergk[4]) edd. 5 (v. 1) *ῥ̓έξαντες* BE; it. edd.: *λέξαντες* V 6 (v. 2) Hesych. (Latte) *βυριόθεν· οἴκοθεν* conferunt Ll.-J. – P. ‖ *Γοργοφόνου* dubit. prop. Meineke, it. Bergk[4] Ll.-J. – P.: *γοργοφόνοι* codd., it. Meineke (in textu) et Gaisford 7 *κύριον* V 8 "*Etym. Gen.* A fol. 130 V et 156 V (contulimus) *εὐβοίριον* [*-βυρ-* fol. 156 V]*· τὸ εὔοικον βαύριον· καὶ κατ' ἀποκοπὴν τοῦ α*" adnotant Ll.-J. – P.



[Εικ. 77]
Γοργοφονος: Περσευς
(*Ἀθηνᾶ, Περσεὺς* καὶ *Μέδουσα.*
Παράσταση σὲ σκαραβαῖο
[τέλη 6ου αἰ. π.Χ.]. *KM*)

F5

(Ελεγεια)

Μέγ. Ἐτυμ. σ.λ. *εὐβύριον*

Εὐβύριον· μὲ καλὰ σπίτια, ὅπως λέγει ὁ Εὐφορίων: «Στὴν πόλη μὲ τὰ ὡραῖα σπίτια.» Ἔχει λεχθεῖ ὅτι (ἡ λέξη σχηματίζεται) κατὰ τὴν *βαυρίαν*, ἡ ὁποία κατὰ τοὺς Μεσσαπίους σημαίνει τὴν οἰκία. Ὅπως λέγει ὁ Κλέων ὁ ἐλεγειοποιός:

(στ. 1) Τοῦτο λοιπὸν σὰν τέλειωσαν ὅλοι μαζὶ συνάζονταν
ἀπ' τὶς οἰκίες οἱ ἰσχυροὶ τοῦ Γοργοφόνου οἱ βλαστοί.

Μὲ ἔλλειψη τοῦ ᾱ λοιπὸν τὸ *βαύριον* (γίνεται) *βύριον* καὶ σὲ σύνθεση *εὐβύριον*.

[Ἡ χειρόγραφη παράδοση δὲν ἀφήνει ἀμφιβολίες στὸ προκείμενο ἀπόσπασμα ὅτι ποιητὴς τῶν παρατιθέμενων στίχων εἶναι ὁ *Κλέων ὁ ἐλεγοποιός*. Καθὼς ὅμως δὲν ἀναφέρεται ἡ καταγωγή του, δημιουργήθηκαν ἀμφιβολίες ὡς πρὸς τὴν ταύτισή του μὲ τὸν Κλέωνα ἀπὸ τὸ Κούριο. – Στίξαμε: (…) *τὴν οἰκίαν· ὥς φησιν Κλέων ὁ ἐλεγοποιός, τοῦτο μὲν* (…), χάριν τοῦ νοήματος (βλ. κατωτ. σημ. σ.στ. 3). Περισσότερα: D'Alessio *ArgCC* σσ. 95 κἑ., καὶ ἀνωτ. 149-58.]



[Εικ. 78]
Αθηνα, Περσευς
και Μεδουσα Γοργω
(Παράσταση σὲ ἀσπίδα τοῦ Γηρυόνη.
Λεπτομέρεια Εἰκ. 27.2 ἀνωτ.)

7. ΚΑΣΤΟΡΙΩΝ Ο ΣΟΛΕΥΣ

F1 (ΕΙΣ ΠΑΝΑ)
Athen. 10, 454f - 455b

Τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν (fr. 88 Wehrli)*, εἰς τὸν Πᾶνα ποίημα τοιοῦτόν ἐστι· τῶν ποδῶν ἕκαστος ὅλοις ὀνόμασιν περιειλημμένος πάντας ὁμοίως ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον·*

(v. 1) *Σὲ τὸν βολαῖς νιφοκτύποις δυσχείμερον*
ναίονθ' ἕδραν, θηρονόμε Πάν, χθόν' Ἀρκάδων,
κλήσω γραφῆι τῆιδ' ἐ⟨ν⟩ σοφῆι πάγκλειτ' ἔπη
συνθείς, ἄναξ, δύσγνωστα μὴ σοφῶι κλύειν,
(v. 5) *μωσοπόλε θήρ, κηρόχυτον ὃς μείλιγμ' ἰεῖς,*
καὶ τὰ λοιπὰ τὸν αὐτὸν τρόπον. τούτων δὲ ἕκαστον τῶν ποδῶν ὡς ἂν τῆι τάξει θῆις, τὸ αὐτὸ μέτρον ἀποδώσει, οὕτως·
Σὲ τὸν βολαῖς νιφοκτύποις δυσχείμερον
Νιφοκτύποις σὲ τὸν βολαῖς δυσχείμερον.
καὶ ὅτι τῶν ποδῶν ἕκαστός ἐστι ⟨ἑν⟩δεκαγράμματος. ἔστι ⟨δὲ⟩ καὶ μὴ τοῦτον τὸν τρόπον ἀλλ' ἑτέρως ποιῆσαι, ὥστε πλείω πρὸς τὴν χρῆσιν ἐκ τοῦ ἑνὸς ἔχειν οὕτω λέγοντας·
Μέτρον φράσον μοι τῶν ποδῶν ⟨μέτρον λαβών⟩
Λαβὼν μέτρον μοι τῶν ποδῶν μέτρον φράσον
Οὐ βούλομαι γὰρ τῶν ποδῶν μέτρον λαβεῖν
Λαβεῖν μέτρον γὰρ τῶν ποδῶν οὐ βούλομαι.

[Vid. Athen. edd. Kaibel et Gulick, et Clearch. ed. Wehrli; vid. etiam Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 310.] 3 *στίχων* (pro *ποδῶν*) postulat Porson 4 †*τοὺς πόδας*† We. (3-4: "haec turbata" adnot. Kaib.) 5 (v. 1) *βολαῖς* Meineke: *βολοις* A (et infra 12 et 13) 6 (v. 2) *ναίονθ'* Casaubon: *νεονθ'* A ‖ *ἕδραν* Cobet: *ὁδος* A; *ἕδος* Scaliger ‖ *χθόν'* Cas.: *χθὼν* A 7 (v. 3) *κλήσω* Schweighäuser et Cob.: *κλήισω* A ‖ *τῆιδ' ἐ⟨ν⟩* (⟨*ἐν*⟩ We.) *σοφῆι πάγκλειτ'* Porson: *τῆιδε σοφῆι πάγκλητ'* A; (…) *πάγκλυτ'* Cas. 8 (v. 4) *σοφῶι* Mein.: *σοφοῖς* A (*σοφοῖς κλύειν* Cob., *σοφοῖς κλυεῖν* We.) 9 (v. 5) *μωσοπόλε* Cob.; *μουσοπόλε* A, it. We. (fort. recte): *μουσοποὲ* prop. Bergk ‖ *ἰεῖς* Cob.; *ἴεις* Bergk: A *ἴῃς* 10 *ἕκαστος* We. 14 ⟨*ἑν*⟩*δεκαγράμματος* Schw. ‖ ⟨*δὲ*⟩ We. 17 ⟨*μέτρον λαβών*⟩ Koraës 18 post hunc versum duo vel plures versus excidisse aestimat We.

7. ΚΑΣΤΟΡΙΩΝ Ο ΣΟΛΕΥΣ

F1 (ΣΤΟΝ ΠΑΝΑ)
᾽Αθήν. 10, 454f - 455b
Τοῦ Καστορίωνος ἀπὸ τοὺς Σόλους, ὅπως ἀναφέρει ὁ Κλέαρχος, τὸ ποίημα στὸν Πάνα τέτοιο εἶναι· καθὼς ἡ κάθε διποδία περιλαμβάνει λέξεις ποὺ δίνουν ἀκέραιο νόημα, ὅλες οἱ διποδίες μποροῦν ὅμοια νὰ προηγοῦνται ἢ νὰ ἕπονται, ὅπως:

(στ. 1) Σένα ποὺ ἀπὸ τὶς θυελλώδεις τὶς χιονοπτώσεις τὴν
κακοχείμωνη
κατοικοεδρεύεις, θηροβοσκὲ Πάνα, χώρα τῶν ᾽Αρκάδων
θὰ ἀνυμνῶ μὲ τούτη τὴ σοφὴ γραφὴ πανένδοξα τραγούδια
συνθέτοντας, ἄνακτα, δυσνόητα στὸν μὴ σοφὸ νὰ ἀκούει,
(στ. 5) μουσόφιλο ἀγρίμι, ποὺ μελιστάλαχτο σουραύλισμα
σκορπίζεις,

καὶ τὰ λοιπὰ μὲ τὸν ἴδιο τρόπο. Στὴν κάθε μιὰ ἀπ᾽ αὐτὲς τὶς διποδίες ὅποια θέση κι ἂν δώσεις, τὸ ἴδιο μέτρο θὰ ἀποδώσεις, ἔτσι:

Σένα ποὺ ἀπὸ τὶς θυελλώδεις τὶς χιονοπτώσεις τὴν
κακοχείμωνη
Τὴν κακοχείμωνη σένα ποὺ ἀπὸ τὶς θυελλώδεις τὶς
χιονοπτώσεις.

Καὶ (λέγει) ὅτι ἡ κάθε διποδία εἶναι ἑνδεκαγράμματη. Εἶναι δὲ δυνατὸ νὰ συνθέσουμε στίχους ὄχι μόνο μὲ τοῦτον τὸν τρόπο ἀλλὰ καὶ διαφορετικά, ὥστε ἀπὸ τὸν ἕνα ἀνάλογα μὲ τὴ χρήση νὰ ἔχουμε περισσότερους, λέγοντας γιὰ παράδειγμα:

Πές μου τὸ μέτρο τῶν ποδῶν τὸ μέτρο παίρνοντας,
Παίρνοντας τὸ μέτρο τῶν ποδῶν τὸ μέτρο πές μου.
Δὲν θέλω τῶν ποδῶν τὸ μέτρο νὰ τὸ πάρω,
Νὰ τὸ πάρω τὸ μέτρο τῶν ποδῶν δὲν θέλω.

[Τὸ γεγονὸς ὅτι πρόκειται γιὰ μετρικὸ παίγνιο μὲ διποδίες ἀνεξάρτητες καὶ ἑνδεκαγράμματες διευκολύνει τὴν ἀποκατάσταση τοῦ κειμένου, καθὼς ἀποκλείονται γραφὲς ποὺ δίνουν λιγότερα (ὅπως τὸ *νεόνθ᾽ ὁδός*, τὸ *τῆιδε* καὶ τὸ *πάγκλητ᾽*) ἢ περισσότερα (ὅπως τὸ *κλήισω* καὶ τὸ *σοφοῖς κλύειν*, ἴσως δὲ καὶ τὸ *μουσοπόλε*) ἀπὸ 11 γράμματα σὲ μιὰ διποδία (διορθώνεται δὲ ἔτσι μὲ βεβαιότητα τὸ *δεκαγράμματος* [στ. 14, Α] σὲ ⟨*ἑν*⟩*δεκαγράμματος*). Βλ. καὶ ἀνωτ. 154 κἑ. (μὲ βιβλιογραφία) καὶ κατωτ. σημ. στὸ χωρίο.]

***F2**

Commenta Bernensia in Lucan. 3.402

Hunc non ruricolae Panes· Pindarus (fr. 90c B. / *100 Sn. – M.) *et † cateri dicunt Apollinis et Penelopae filium, alii Mercurii et eiusdem. hunc natum montanis nimfis a patre nutriendum traditum perhiben⟨t un⟩de hylicus deus factus. Euphorion* (fr. 109 Powell) *Ulixis filium manifestat. nonnulli quidem sine origine hunc deum tradiderunt, sicut Apollodorus* (*FGrH* 244 F 136).

[Vid. Commenta Bernensia in Lucan. ed. Usener; vid. etiam Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. "311 ?".] 2 *cateri* cod. Bern. († *cateri* Ll.-J. – P.); *ceteri* vulg.: *He*cata*e*us Usener, it. Bowra (Pind. fr. 90c); *Castorio* Ryba (fort. recte; vid. infra ad loc., et supra pp. 164 sqq.).



[Εικ. 79] Ερμης (Οἰνοχόη, [δεξιά: λεπτομέρεια], 4ος αἰ. π.Χ. Κοπεγχάγη, *Ny Carlsberg Glyptotek*. *ΕΘΗρΑΚ* ἀρ. 53)

F3 (Εις Διονυσον)

a. Athen. 12, 542b-e

Δημήτριος δ' ὁ Φαληρεύς (fr. 34 Wehrli), *ὥς φησι Δοῦρις* (*FGrH* 76 F 10) *ἐν τῇι ἑκκαιδεκάτηι τῶν Ἱστοριῶν,* (…) *ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλλε, τῇι δὲ καθαρειότητι Κυπρίους καὶ Φοίνικας* (…). *ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζόμενος καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς φαίνεσθαι. ἐν δὲ τῇι πομπῇι τῶν Διονυσίων, ἣν ἔπεμψεν ἄρχων γενόμενος, ᾖδεν ὁ χορὸς εἰς αὐτὸν ποίημα Καστορίωνος τοῦ Σολέως, ἐν ὧι ἡλιόμορφος προσηγορεύετο·*

(v. 1) *Ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος ζαθέοις*
ἄρχων τιμαῖς σε γεραίρει.

***F2**

Σχόλια στὸν Λουκανό 3.402

Αὐτὸν δὲν (συγκρατοῦν) οἱ ἀγροδίαιτοι Πάνες· Ὁ Πίνδαρος καὶ ὁ Καστορίων (;) λὲν (τὸν Πάνα) γιὸ τοῦ Ἀπόλλωνα καὶ τῆς Πηνελόπης, ἄλλοι τοῦ Ἑρμῆ καὶ τῆς ἴδιας. Ἰσχυρίζονται ὅτι ὅταν αὐτὸς γεννήθηκε παραδόθηκε ἀπὸ τὸν πατέρα του στὶς Νύμφες τῶν ὀρέων γιὰ νὰ τὸν θρέψουν, ἀπ' ὅπου κατέστη θεὸς τῶν δασῶν. Ὁ Εὐφορίων δηλώνει (ὅτι ἦταν) γιὸς τοῦ Ὀδυσσέα. Μερικοὶ δέ, ὅπως ὁ Ἀπολλόδωρος, ἀναφέρουν αὐτὸν τὸν θεὸ χωρὶς καταγωγή.



[Εικ. 80]
Απολλων Μουσαγετης
(*Πάφος* [«Οἰκία τοῦ Αἰῶνος»],
4ος αἰ. μ.Χ.)

F3 (Στον Διονυσο)

a. Ἀθήν. 12, 542b-e


Ὁ Δημήτριος ὁ Φαληρεύς, ὅπως ἀναφέρει ὁ Δοῦρις στὸ δέκατο ἕκτο βιβλίο τῶν Ἱστοριῶν του, (…) ὡς πρὸς μὲν τὶς δαπάνες γιὰ τὰ δεῖπνα ξεπερνοῦσε τοὺς Μακεδόνες, ὡς πρὸς δὲ τὴν ἐκλεπτυσμένη πολυτέλεια τοὺς Κυπρίους καὶ τοὺς Φοίνικες (…). Φρόντιζε δὲ καὶ τὴν ἐμφάνισή του, καὶ ξανθίζοντας τὶς τρίχες τῆς κεφαλῆς καὶ ἀλείφοντας ἐλαφρὰ μὲ κοκκινάδι τὸ πρόσωπο καὶ ἐγχρίοντας μὲ τὶς ἄλλες ἀλοιφὲς τὸν ἑαυτό του· γιατὶ ἤθελε νὰ εἶναι περιχαρὴς στὴν ὄψη καὶ νὰ φαίνεται εὐάρεστος σ' αὐτοὺς ποὺ τὸν συναντοῦσαν. Στὴν δὲ πομπὴ τῶν Διονυσίων, τὴν ὁποία ὁδήγησε ὅταν ἔγινε ἄρχων, ὁ χορὸς τραγουδοῦσε σ' αὐτὸν ποίημα τοῦ Καστορίωνος ἀπὸ τοὺς Σόλους, στὸ ὁποῖο προσαγορευόταν ἡλιόμορφος:

(στ. 1) Ἔξοχα εὐγενὴς ἡλιόμορφος ἄρχοντας
μὲ λαμπρὲς θεϊκὲς τιμὲς σὲ δοξάζει.

b. Eust. in Hom. ζ 163

Χορὸς (…) *ἄιδων ποιήματα εἰς τὸν Φαληρέα Δημήτριον, ἡλιό-*
2 *μορφον ἐκεῖνον ἐξόχως τε εὐγενέταν προσηγόρευσε.*

[Vid. Athen. edd. Kaibel et Gulick et Eust. in Hom. *Od.* ed. van der Valk; de vv. a. 8-13 vid. etiam Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. "312 ?".] **a.** 3 *ὑπερβαλὼν* CE 4 *καθαρειότητι* CE: *καθαριότητι* A 9 *ὁ* ante *χορὸς* om. A 10 *ποίημα* nos: *ποίημα τὸ* Page: *ποιήματα*, A Eust. ‖ *Καστορίωνος* Leopardi, prob. Bergk Ryba Gulick Page Hadjioannou: *Σείρωνος* A; om. E ‖ *ὦι* Page: *οἷς* A 12 (v. 1) *δ'* edd.: *δὲ* A, it. Ll.-J. – P.; *τε* CE (et Eust.) ‖ *ἡλιόμορφος* Eust., Kuhn (ex Athen. v. 10 supra): *ἠπιόμοιρος* ACE (fort. recte; vid. infra ad loc.) 13 (v. 2) *τιμαῖς σε* Page: *σὲ τιμαῖς* A, it. Kaib. et Jac. (76 F 10.27); *σε τιμαῖσι* Meineke.



[Εικ. 81]
Ηλιος Πτερωτος
(Παράσταση σὲ ἐπιτύμβια στήλη τοῦ Κάρυκος
ἀπὸ τὴ νεκρόπολη τῶν *Γόλγων* [Ἀθηαίνου],
χρονολογούμενη στὰ μέσα τοῦ 6ου αἰ. π.Χ.:
ICS 260 Pl. XLV.1 καὶ Fig. 80 [σελ. 281].
Στὸ κάτω μέρος δίγραφη ἐπιγραφή,
[συλλαβικὴ καὶ ἀλφαβητική]:
ΚΑΡΥΞΕΜΙ – *ka-ru-xe-e-mi* = *Κᾶρύξ ἔμι*)

b. Εὐστ. σχόλ. στὸ ζ 163
Χορὸς (…) τραγουδώντας ποιήματα στὸν Δημήτριο τὸν Φαληρέα, τὸν ἀποκάλεσε ἡλιόμορφο καὶ ἔξοχα εὐγενή.

[Τὸ ὄνομα τοῦ *Καστορίωνος* ἀποκατέστησε ὁ Leopardus· τὴ γνώμη του ἐπικρότησε ὁ Ryba (*Athenaeum* 8 [1930], 180-81) καὶ υἱοθέτησαν στὶς ἐκδόσεις τους οἱ Bergk, Gulick, Page, Χατζηιωάννου, οὐσιαστικὰ δέ (καθὼς ἀποδίδουν τὸ ἀπόσπ. στὸν Καστορίωνα) ὁ Diehl καὶ –μὲ ἀμφιβολίες– οἱ Lloyd-Jones καὶ Parsons (περισσότερα ἀνωτ. 155 κἑ. μὲ σημ., κυρίως 132 καὶ 145).]



[Εικ. 82]
ΚΥΡΙΕ ΗΛΙΕ,
ΩC ΔΙΚΑΙΩC
ΑΝΑΤΕΛΛΙC (…)
(Ἐπιγραφὴ *Σαλαμῖνος*
[Ἔγκωμης],
2/3 αἰ. μ.Χ.
[*AKvΓ*^{3} 12 E9].
Ἀλεξάνδρεια,
Ἀρχαιολογικὴ Ἑταιρεία)

8. ΕΡΜΕΙΑΣ Ο ΚΟΥΡΙΕΥΣ

F1

Athen. 13, 563d-e

Τούτων τοῦ Ἀλέξιδος ἀπομνημονεύσας ὁ Μυρτίλος κἄιτα ἀποβλέψας εἰς τοὺς τὰ τῆς στοᾶς αἱρουμένους τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν Ἰάμβων προειπών·

(v. 1) *Ἀκούσατ', ὦ Στώακες, ἔμποροι λήρου,*
λόγων ὑποκριτῆρες, οἳ μόνοι πάντα
τἀν τοῖς πίναξι, πρίν τι τῶι σοφῶι δοῦναι,
αὐτοὶ καταρροφεῖτε κἄιθ' ἁλίσκεσθε
(v. 5) *ἐναντία πράσσοντες οἷς τραγωιδεῖτε,*
παιδοπῖπαι ὄντες καὶ τοῦτο μόνον ἐζηλωκότες τὸν ἀρχηγὸν
ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα, ὃς οὐδέποτε γυναικὶ ἐχρήσατο, παιδικοῖς δ' αἰεί, ὡς Ἀντίγονος ὁ Καρύστιος (fr. 33A Dorandi) *ἱστορεῖ ἐν τῶι περὶ τοῦ βίου αὐτοῦ.*

[Vid. Athen. edd. Kaibel et Gulick, et supra pp. 175 sqq. cum adnot.] 4 (v. 1) *Στώακες* Dindorf, it. Powell (cf. et Athen. *Epit.* [vid. supra p. 181] *τοὺς στωϊκοὺς στώακας καλεῖ*); *στόακες* A (*Στόακες* Diehl[3]): *στύακας* CE; *Στύακες* Gulick; *Στοίακες* Diehl[1] 5 (v. 2) *ὑποκριτῆρες* Musurus: *ὑποκρητῆρες* A 6 (v. 3) *πρίν τι* Porson: *πρινὴ* A (*πρὶν ἢ*, non recte, metri gratia) 8 (v. 5) *πράσσοντες* A, it. Diehl Gulick Hadjioannou: *πρήσσοντες* Meineke, it. Powell.

F2

Hephaest. *De poem.* 3.5

Ἔστι δέ τινα † τὰ ἐξ ὁμοίων πεποιημένα, οἷον τὰ Ἑρμείου, παιωνικὰ ὄντα,

(v. 1) *Ἑπτά μοι δὶς τριάκοντα βασιλεὺς σχεδόν,*
καὶ τὰ ἑξῆς.

8. ΕΡΜΕΙΑΣ Ο ΚΟΥΡΙΕΥΣ

F1

Ἀθήν. 13, 563d-e

Αὐτοὺς τοὺς στίχους τοῦ Ἄλεξη ἀφοῦ ἀπὸ μνήμης ἀπήγγειλε ὁ Μυρτίλος, ὕστερα στράφηκε σ' αὐτοὺς ποὺ ἀσπάζονται τὶς ἀρχὲς τῆς Στοᾶς, παραθέτοντας πρῶτα στίχους ἀπὸ τοὺς Ἰάμβους τοῦ Ἑρμεία ἀπὸ τὸ Κούριο:

(στ. 1) Ἀκοῦστε, τῆς Στοᾶς μαθητάκια, παραληρημάτων ἔμποροι,
ποὺ λόγια ὑποκριτικὰ ραψωδεῖτε, ἐσεῖς ποὺ μόνοι ὅλα
ὅσα στὰ πιάτα μέσα βρίσκονται, πρὶν στὸν σοφὸ κάτι νὰ δώσετε,
καταβροχθίζετε οἱ ἴδιοι, κι ὕστερα στὴ φάκα πιάνεστε
(στ. 5) τ' ἀντίθετα νὰ κάνετε ἀπ' αὐτὰ ποὺ τραγωδεῖτε,
ὄντας παιδεραστές, καὶ σ' αὐτὸ μόνον ἔχοντας γίνει ζηλωτὲς τοῦ ἀρχηγέτη τῆς φιλοσοφίας σας Ζήνωνα τοῦ Φοίνικα, ποὺ μὲ γυναίκα ποτὲ δὲν συνευρέθηκε, μὰ πάντοτε μὲ παιδιὰ εὐνοούμενα, ὅπως ἱστορεῖ ὁ Ἀντίγονος ὁ Καρύστιος στὸ ἔργο γιὰ τὸν βίο του.

[Ἡ χειρόγραφη παράδοση δίνει (στὸν στ. 1), ποὺ βρίσκει στήριγμα καὶ στὸ περικείμενο στὴν *Ἐπιτ.* (κώδ. CE) τοῦ Ἀθήν. (βλ. ἀνωτ. σελ. 174), τὶς γραφὲς *στόακες* καὶ *στύακας*. Ὁ τύπος *Στώακες* (μὲ μακρὰ 1η συλλαβή) ἐνισχύει τὸ ὅλο νόημα τοῦ ἀποσπάσματος, ποὺ παρωδεῖ τοὺς ὀπαδοὺς τῆς Στοᾶς γιὰ τὴν ἄκριτη ἀλλὰ καὶ ὑποκριτικὴ στάση τους ἀπέναντι στὰ διδάγματα καὶ τὴν ὅλη φιλοσοφία τοῦ Ζήνωνα.]

F2

Ἡφαιστ. *Περὶ ποιημ.* 3.5

Εἶναι δὲ μερικὰ (συστήματα) «ἐξ ὁμοίων» συντεθειμένα, ὅπως αὐτὰ τοῦ Ἑρμεία, σὲ παιωνικὰ μέτρα:

(στ. 1) Ἑπτὰ σὲ μένα δυὸ φορὲς τριάντα ὁ βασιλιὰς σχεδόν,
καὶ τὰ ἑξῆς.

[Vid. Hephaest. *De poem.* ed. Consbruch (pp. 65-6), et Lloyd-Jones – Parsons *Suppl. Hell.* fr. 484.] 1 *τὰ* codd.: *καὶ* Caesar ‖ † *τὰ ἐξ ὁμοίων* Ll.-J. – P.: *τὰ ἐξ ὁμοίων ⟨οὕτω⟩* Gaisford (*οὕτω* add. Turnebus; *⟨οὐχ οὕτω⟩* Lachmann, *Kl. Schr.* II 48 sq.); *καὶ ἐξ ὁμοίων* Consbruch (adnotans: "an *⟨καὶ⟩ τὰ* ?").



[Εικ. 83] Σκηνη Συμποσιου
(Ζεῦγος συμποσιαστῶν, ἀρχὲς 5ου αἰ. π.Χ.
[ἀπὸ τὴν *Ἀμαθοῦντα* ἢ τὸ *Κούριον*]. *AAC* 172)

